6. Ἔχουσιν δὲ ἐν ταῖς ἄλλαις γραφαῖς καὶ διαφόρους σταθμοὺς,[209] καὶ μίξεις καὶ ἐργασίας, καὶ αὐτὰς καλὰς καὶ οὐκεῖ κενὰ, οὐδὲ[210] ματαίους. Οἱ μὲν γὰρ αὐτῶν ὅλα τὰ σώματα ὑφ' ἓν μιγνύντες ἔχουσιν σκωρίαν ἢ καὶ ἐργάζονται · οἱ δ' ἐπιει καὶ ἑτέρων ποιοῦσιν, προκαθαίρουσιν[211] γὰρ τὸν χαλκὸν, ὡς ἐνδέχεται, καὶ μίσγουσιν τὸν ἄργυρον · εἶτα τὸν σίδηρον ἀρσενώσαντες, ὡς ἐν τῷ χαλκῷ, καὶ ποιήσαντες ἁπαλὸν, σμίγουσιν · τὸν δὲ κασσίτερον καὶ μόλυβδον λύσαντες ἐπιβάλλουσιν τὰ μέταλλα καὶ σκορπιστικῇ καμίνῳ, καὶ φρύξαντες οὕτω λείουσιν καὶ πλύνουσιν · καὶ οὕτω μίσγουσιν τὸν σιδηρόχαλκον, ἄλλοι δὲ τὸν μὲν μόλυβδον · σκορπίζουσι τὰ μέταλλα · τὸν δὲ κασσίτερον,[212] ὀνυχοποιήσαντες μίγμα, καὶ λοιπὸν βάλλοντες, τὸν μὲν μόλυβδον λειοῦσιν καὶ τὸν κασσίτερον ὁμοίως λειοῦσιν, καὶ μίσγουσιν καὶ πλύνουσιν, καθὼς λειοῦται ἔμπροσθεν τρυβλίῳ, καὶ τοῖς ἄλλοις.[213] Εἰ μὴ γὰρ πλυνθῇ καὶ ἀρθῇ ἡ μελανία ἀπ' αὐτοῦ, οὐδέν ἐστιν. Αἴρεται δὲ διὰ πλύσεως καὶ ζέσεως μετ' αὐτοῦ, εἶτα πήξε- (f. 263 v.) ως, εἶτα κατεράσεως, εἶτα σήψεως, εἶτα ἀναspάσεως.

7. Λοιπὸν ὁ μόλυβδος ἔχων τὰ οὐσιαστικὰ εἴδη ἐκ δευτέρου βαλλόμενα εἰς τὴν ξάνθωσιν μετὰ ἀργύρου, ποτὲ μὲν καὶ σκορπιζόμενα, ποτὲ δὲ συνλειούμενα καὶ κατασπώμενα,

209. F. l. ἔχ. δὲ < ἄλλοι. >
210. οὐκεῖ] F. l. οὐχὶ κενὰς.
211. F. l. ἥν καὶ. — F. l. ἐπιεικῆ ἑτέρως.
212. F. l. τῷ μὲν μολύβδῳ, ... τῷ δὲ κασσιτέρῳ.
213. τρυβλίως A.

καὶ διὰ τῶν ἄλλων μυρίων τεχνῶν τῶν ἐν ταῖς γραφαῖς αὐτῶν γινομένων · πλατεῖα γάρ ἐστιν ἡ[214] τέχνη, καὶ ὅλα τὰ μέρη, καὶ σκωρίδια, καὶ τὸ καλούμενον ἐξάνθημα, καὶ ὁ μόλυβδος τοῦ ὀξυζωμίου καὶ χρυσοζωμίου, καὶ εἴ τι τοιοῦτον περὶ τούτου στίχου νόει. Τὸ δὲ χρυσοκόλλην καὶ σινώπην, καὶ καθμίαν, ὡς ἔφην, μετὰ τοῦ μολύβδου, τὰ οὐσιαστικὰ εἴδη νόει · τὸ μύσι τὸ ἀσιατικὸν, τὸ θεῖον ὕδωρ δηλοῖ ποτὲ μὲν τὸ μερικὸν, ποτὲ δὲ τὸ καθόλου τὸ ἄθικτον. Καὶ τὸ μὲν μερικόν ἐστιν τὸ δι' ἀσβέστου ἔχον πόας καὶ πάντα λειοῦν, ὀπτὸν τὸ μέρος τῶν ξανθῶν, καὶ σηπτόν · τὸ δὲ καθόλου, ὅταν τὸ σαπὲς ἀναλύσῃς τῷ προταγέντι χαλκῷ, καὶ ἀνασπάσῃς, εἴτε αἰθάλην μετὰ κόμμεως, καὶ ἔχεις, καὶ περιχέεις μαλάγματα, φησὶν, τὸ αὐτὸ μέρος τῷ εἴδει ξανθωθέντι καὶ ἀναδειχθέντι,[215] καὶ ζέσῃς, καὶ τοῦτο ποιήσας τρίτον, καὶ τοῦτο ἐπιβάλλῃς.[216]

8. Ἔχουσιν οὖν αἱ ἀρχαῖαι γραφαὶ ποτὲ μὲν καθησμὸν πάντα,[217] ποτὲ δὲ καὶ συγκεχυμένος, ἅτινα πάντα σοι ὑπογραφήσεται · ἔχει δὲ[218] ὧδε. Λαβὼν κύθραν ὠμὴν, ξήρανον ἐν ἡμέρας ι΄, καὶ λαβὼν ὤχρας[219] καὶ κυανοῦ ἀνὰ μέρος α΄, λείου ὄξει ἀκράτῳ · ποιήσας μέλιτος πάχος, χρίε τὴν κύθραν ἔσωθεν · καὶ (f. 264 r.) ὄπτα σανδαράχης ἀλῆς, καὶ[220]

214. γινομένων] F. l. λεγομένων. Confusion fréquente dans les mss.
215. τὸ εἴδη A.
216. τρίτον] F. l. τρὶς. Confusion fréquente dans A.
217. F. l. καθεσμὸν.
218. F. l. συγκεχυμένως.
219. ὁ μὴν A.
220. F. l. ἅλις.

λαβὼν ἰὸν χαλκοῦ, λείου οὔρῳ ἀφθόρου, καὶ χρίε πάλιν ἐπάνω τὴν κύθραν · καὶ περιφημώσας ὅπτα ἡμέρας γ′ · καὶ ἐξελὼν εὑρήσεις ὡς καγχρία · ταῦτα ἐπίβαλλε ἀργύρῳ, οἱ μὲν μελανωθέντι, οἱ δὲ οὐ ψυγῇ[221] χρυσὸν μελάνωσις · ὤχρας μέρος, κασσιτέρου μέρος προσποιεῖ ἀμφότερα, τὸν αὐτὸν σίδηρον πρὸς τὸ ἴσον · καὶ μαγνησίᾳ τὸ αὐτὸ ποιήσεις · καὶ < λαβὼν > ἥμισυ καὶ θεῖον ἄπυρον, καὶ μίγνυε ἀνὰ μέρος ἥμισυ ἐν χώστρᾳ ἐπὶ ἡμέρας β′ · εἶτα λείου τοῦτο μετὰ χαλκάνθου, καὶ κηκήδιν ἀφρῷ[222] ἴσα τέως ἡμέρας γ′, καὶ ὅπτα, καὶ ἐπίβαλλε χρυσὸν, καὶ μελανωθήσεται τούτου ἓν ἀργύρου μέρος.[223]

✶

✶✶

1.1.6 4. — 6. ΟΤΙ ΣΥΝΘΕΤΟΝ ΚΑΙ ΟΥΧ ΑΠΛΟΥΝ ΤΟ ΕΙΔΟΣ, ΚΑΙ ΤΙΣ Η ΟΙΚΟΝΟΜΙΑ.

Transcrit sur M, f. 96 r. — *Collationné sur* B, f. 94 r. ;— *sur* A (copie de B ?), f. 94 r. ;— *sur* E, f. 8 r. ;— *sur* Lb (copie de E ?), page 15. — *Chap. 2 de la compilation du Chrétien dans* E Lb. — *Contenu aussi dans le ms. de Vienne* (cod. med. 51), f. 72 r. — Lb *donne une traduction latine de nos §§ 1, 2, 3, en regard du texte, de la main du copiste.*

221. F. l. ἡμὲν ... ἠδὲ οὐ ψυγέντι χρυσῷ μελανωθέντι.
222. F. l. κικιδίου (?).
223. τούτου ἐν ἀργύρῳ μέρος Laur. (Bandini, Catalogue de la Laurentienne, t. 3, col. 355). — F. l. τούτῳ.

1. Πότερον ἁπλοῦν ἐστιν ἢ σύνθετον, ἢ μέρους φύσεως ἡ τέχνη[224] ἡ παρὰ τοῖς διδασκάλοις φύσεως καλουμένης ; Φύσει μὲν οὖν ἁπλοῦν[225] χρυσόκολλα ὧν γένος ἁπλοῦν κατὰ τὸν ἔνθεον Ἡσίοδον καὶ Ἄρατον,[226] καὶ χρυσέα κεφαλὴ κατὰ τὸν θεσπέσιον Δανιὴλ τὸν θεηγόρον,[227] καὶ χρύσεον χορὸν κατὰ τὸν τρισμέγιστον Ἑρμῆν, οὐκ ἂν ᾖ τὸ ἓν τὸ[228] ζητούμενον. Τέχνη δὲ πάλιν οὐκ ἄρα ἁπλοῦν, οὐδὲ ὡς ἐκ μερῶν[229] συνιστάμενον. Εἰ γὰρ μίαν καὶ τὴν αὐτὴν οἰκονομίαν εἶχεν τὰ μέρη καὶ κατ' οὐδὲν ἀλλήλων διέφερεν, οὐκ εἶσαν μέρη ὅλως. Πᾶν γὰρ[230] μέρος φυσικὸν < ἢ > τεχνικὸν συνεισφέρει τι ξένον καὶ τὸ ὅλον · καὶ[231] ἄνευ αὐτοῦ τὸ πᾶν ἀτελὲς εὑρεθήσεται, καθὼς ἔστιν σκοπεῖν ἐπὶ τῶν μορίων τοῦ σώματος, τῶν παρὰ Γαληνῷ τόπων ἐπονομαζομένων[232] · ὡς ἔστιν ἀκούειν αὐτοῦ λέγοντος · « Τόπους γὰρ, φη-

224. σύνθετον [τὸ εἶδος] ἢ μ. Lb, et mg. : *addo* τὸ εἶδος. — μέρους corrigé en μέρος E, correction adoptée par Lb. F. l. ἐκ μερῶν. — τέχνη φύσεως E Lb.

225. καλουμένη AE Lb.

226. χρυσόκολλα en signe M. — ἁπλοῦς ὁ signe de la chrysocolle corrigé en signe de l'or E ; ἁπλοῦς ὁ χρυσὸς Lb, mel. — ὧν BAE Lb (= B etc.). — καὶ γένος E Lb.

227. κατὰ — χρυσ. χορὸν om. E. — χρύσεος χορὸς Lb.

228. ᾖ] ἢ BA ; εἴη Lb, f. mel. — Renvoi de Ἑρμῆν dans E, à cette note marginale : *addo ad sensum, nam sine dubio omissa fuere a scriptore* : τὸ ἓν ἔσεται (*sic* τὸ ζητούμενον · φύσει δὲ οὐχ ἁπλοῦν, ἀλλὰ) σύνθετον ὄν. Lb adopte cette addition en lisant : ἔσται ... οὐχ ἁπλοῦς, ἀλλὰ σύνθετος ὤν. — τὸ om. BA.

229. τέχνη (τέχνῃ Lb) δὲ ἄρα πάλιν οὐχ ἁπλοῦν B etc.

230. διήφερεν M. — εἶσαν] ἦσαν B, etc. F. l. εἴη ἂν. — τὰ (effacé) μέρη E.

231. φυσ. καὶ τεχν. E Lb. — τὸ ὅλον] καὶ αὐτὸ ὅλον A ; εἰς αὐτὸ τὸ ὅλον E Lb.

232. Cp. Galien, *Lieux affectés*, 1, 1.

σὶν, ὀνομάζουσιν τὰ μόρια τοῦ σώματος. » Ἀνὰ γάρ τι τῶν μερικωτάτων, ἀτελὲς τὸ πᾶν[233] ὀφθήσεται σύνθεμα, οἷον λειώσεως τυχὸν ἢ ὀπτήσεως, ἢ καύσεως, ἢ σήψεως τῆς ἐν πρίσματι, ἢ βαλανείῳ, ἢ ὀρνιθέᾳ, ἢ κηρωτακίδι,[234] ἢ < διὰ > τοῦ ἀμβικισμοῦ, ἢ πυρὸς γυμνοῦ, ἢ ἐπιδιπλωμάσιος, ἢ Μαρίας[235] ὑδραργύρου, ἢ ἄλλης τινὸς οἰκονομίας αὐτῶν.

2. Εἰ οὖν πᾶν μέρος φυσικὸν, ἢ τεχνιτῶν συνεισφέρει τι τὸ ὅλον,[236] χρεὸν καὶ ταῦτα τῷ παντί συνεισφέρειν. Εἰ γὰρ σκευάζουσιν τὰ μέρη,[237] τὸ παράπαν οὐδὲν ἐν τῇ οἰκονομίᾳ τῷ πόσῳ · λοιπὸν τὸ πᾶν ἑαυτοῦ[238] διοίσει μόνον, ὡς ἡ τὸ δίπηχυ δένδρον γενήσεται τρίπηχυ, τιθεμένης[239] τῆς αὐξήσεως. Εἰ δὲ τῶν μερῶν (f. 96 v.) ἕκαστον λυσιτελεῖ τῷ παντὶ,[240] σκοπήσωμεν ἑκάτερον τούτων ὅπως ἔχει πρὸς θάτερον. Ἡ μὲν οὖν ὑδράργυρος, εἰς τὰ πώματα τῶν λεβήτων ἑαυτὴν ἐωροῦσα, τῆς ἰώσεως[241] τὸ πᾶν ἀπεργάζεται. Ὡς γὰρ ἡ τῶν ζωγράφων κηρωτακὶς τὰ χρώματα[242] μίγνυσι τοῦ

233. ἀνὰ] ἄνευ BA. Réd. de E Lb : ἄνευ γάρ τινος τῶν μ. mel.
234. πρίσματα M ; πρήσματι BE ;— ὀρνιθία BA ; ὀρνιθίᾳ E ; ὀρνιθείᾳ Lb, qui traduit : *stercore avium.* — κηρωτακίδι] κηροτ. BAE ; Lb corrige cette dernière leçon en κεραμίδι et traduit : *vase testaceo.* Note marginale : *lego* κεραμίδι, testa.
235. ἀμβυκισμοῦ M. — ἐπιδιπλ.] ἐπὶ διπλώματος ὑδραργύρου (ὑδρ. en signe) B etc. — ἢ Μαρίας] καθὸ μαρία BAE ; κατὰ τὴν Μαρίαν Lb.
236. τεχνητὸν E Lb, mel. — τῷ ὅλῳ, B etc., mel.
237. χρεὼν. B etc.
238. τῷ πόσῳ corrigé en τὸ ποσὸν E ; τὸ πόσον Lb.
239. ὡς ἡ] ὡς εἰ B etc., mel.
240. τῆς om. MBA.
241. αἰώρουσα Lb.
242. κηρωτακὶς] leçon et note dans Lb, analogues à celles de ci-dessus, (l. 2).

παντὸς ἀποτελεῖ ζώου τῆς τέχνης, < οὕτω > καὶ τῆς μαγνησίας[243] προστιθεμένης αὐτῇ, τουτέστι τῆς ἀναspάσεως τε καὶ ῥεύσεως,[244] καὶ ἐν ταῖς λεκίθοις, τοῦ θείου τοῦ θείου μιγέντος, καὶ θείου ἀποτελοῦντος[245] τὰς δεχομένας[246] ...

3. Τινὲς δὲ ἄλλως ἐκλαμβάνουσι τὸ ῥητόν. Ἐπειδὴ γάρ, φησὶν,[247] ὁ μὲν Ἑρμῆς τὰ θεῖα λέγει πυρίφλεκτα, Δημοκριτος δὲ τὰ θειώδη βαπτὰ καὶ φευκτὰ, κατεχόμενα ὑπὸ τῆς συγγενοῦς ὑδραργύρου · ὑδράργυρον δὲ τὸν Ὀσίριδος τάφον ἀποκαλοῦσιν οἱ διδά[248] σκαλοι, τουτέστιν τὴν ἀπὸ τῆς ἐψήσεως νέκρωσιν, ἀναγκαῖον τὸ[249] ὑδραργυρισθὲν ὕδωρ θείου ἢ θειῶδες ὑγρὸν ὡς πυρίφευκτον,[250] ἕως ἂν τῇ ἱππείᾳ προσομιλήσῃ. Οὐδὲν γὰρ, φησὶν ὁ Ζώσιμος, ἐτιμήθη[251] τὸ πᾶν τῆς τέχνης, εἰ μὴ ὁ τῶν ὑγρῶν κατάλογος.[252]

4. Οὐ δεῖ οὖν μετὰ τὴν σῆψιν τι περιεργεῖν ὅλως κατά

243. μίγνυσι] δείκνυσι B etc. F. l. μίγνυσα. — ἀτελῆ BAE. — ἀτελῆ τοῦ παντὸς [ζώου] τῆς τέχνης Lb, et en mg. : *deleo* ζώου. — οὕτω add. Lb. — ἡ μαγνησία προστιθεμένη Lb.

244. ῥεύσεως] Lb mg. : *addo* ὑδραργύρου.

245. ταῖς] τοῖς AE Lb. — λεκίθοις] λεκύνθοις BAE ; λεκύθοις (f. mel.) corrigé en λεβήθοις Lb, puis au-dessus des mots τοῦ θείου — τὰς δεχομένας et deux fois le signe du soufre : τῷ θείῳ μιγέντι καὶ θεῖον ἀποτελοῦντι τὰ δεχόμενα θεῖα. Lb mg., avec renvoi à ἀποτελοῦντος : *addo* δείκνυσιν ἀτελῆ. — F. l. τοῦ θείου τῷ θείῳ μιγέντος.

246. τὰς δεχ ... ...] τὰς δεχομένας puis deux fois le signe du soufre. MBAE. F. l. θειώσεις ? (*M. B.*). — M mg. : signe de ὡραῖον.

247. φησὶν, avec α au-dessus de η Lb, mel.

248. ὁσειρήδης M. Cp. 2, 4, 42, p. 94.

249. ἀπ' ἐψήσεως (*sic*) B ; ἀπ' ἐσήψεως A ; ἀπὸ σήψεως E Lb ; E mg. : *alias* ἀπὸ τῆς ἐψήσεως.

250. Signe de ὑδράργυρος suivi de θὲν M ; même signe suivi de σθὲν BA ; ὑδραργυρωθὲν E Lb. — πυριφ. εἶναι E.

251. ἱππ. προσομ. κόπρῳ E par corr. Lb.

252. ὑγρῶν] εἰδῶν B etc.

τινας[253] · πρὸς οὓς, ὥς φησιν ὁ Πανοπολίτης. Τινὲς δὲ μετὰ τὴν ἴωσιν[254] οὐδὲν περιειργάσαντο, λέγοντες αὐτὸ θεῖον καὶ ὕδωρ θείου καὶ[255] ὑδράργυρον. Ἡμεῖς οὖν ἐροῦμεν · τί δή ποτε οὖν ὁ μέγας Ζωσιμος[256] ἐν τῷ Σ στοιχείῳ τὴν τοιαύτην ἔντασιν διαλύων ἐκέλευσεν[257] ἐνεχθῆναι τὸν χαλκόν ; « Καὶ ἠνέχθη, φησὶν, ὁ χαλκὸς · καὶ ἦν[258] τέλειος κατὰ πάντα, καὶ ἐπεβλήθη, καὶ οὐκ εἰσέκρινεν. » Καὶ διεγείρων[259] αὐτῶν τὴν φρένα, παρήγα- (f. 97 r.) γεν αὐτοὺς εἰς μέσον τὸν[260] χρυσόκολλον καὶ καταβάψεις, χρυσὸν καλὼν τὴν ἴωσιν ἥτις λέγεται[261] καὶ ξάνθωσις · σύνθεμα δὲ τὸ χρῶμα καὶ τὸ λευκόν · λευκὸν[262] γὰρ ὡσαύτως καλοῦσιν, ἀλλὰ τὸ τίμιον, χρυσόκολλον. Ὥσπερ γὰρ ἥλιος τῶν τε ὑπερτέρων καὶ κατωτέρων σφαιρῶν φωτισμός ἐστιν[263] · ἢ καὶ τῶν μὲν ἀνωτέρων διὰ παντὸς, τῶν δὲ κατωτέρων ἔσθ' ὅτε, διὰ τὸ φθάνειν τὸ ἀποσκίασμα τοῦ κώνου τῆς γῆς ἄχρι τῆς[264] ἑρμαϊκῆς σφαίρας, τῆς ἰώσεως, ἤτοι ξανθώσεως, τῶν τε προτέρων καὶ τῶν ὑστέρων τιμιωτέρα ἐστίν.

253. περιεργεῖν] Fin de la traduction latine dans Lb.
254. ὡς om. E Lb. — ὁ Πανοπ. ὅτι τινὲς μ. B etc.
255. F. l. λέγοντος αὐτοῦ.
256. οὖν] δὲ E Lb. — μέγας om. B. etc.
257. ἔνστασιν B etc., mel.
258. Renvoi dans Lb (p. 21) à la p. 23 (ci-après p. suiv., l. 1), et réciproquement.
259. ἐπεκλήθη M.
260. αὐτοὺς] αὐτοῖς E par corr. Lb.
261. χρυσόκολλον] χρυσὸν Lb. — καὶ τὰς καταβάψεις E Lb. — καλὸν M.
262. λευκὸν γὰρ] πεταστὴν γὰρ Lb.
263. Après ἐστιν] οὕτω καὶ ἐνταῦθα add. Lb.
264. κώνου] βώμου M. (Confusion du κ avec le β et du ν avec le μ.)

5. Τί δήποτε οὖν ταύτῃ ἄλλην ἐργασίαν ἐπέβαλλεν ; Ὅτι γὰρ οὐ περὶ φυσικοῦ χρυσοῦ ἐστὶν ὁ λόγος τῶν παλαιῶν, δῆλον ἐξ ὧν ἔφησεν. Ὁ γὰρ χρυσός τί ἔτι χρείαν ἔχει βαφῆναι ; Τί δὲ προσετίθει[265] λέγων ; « Πολὺ δὲ καί τέλειον χαλκὸν εὑρόντες ἐν τοῖς ἱεροῖς,[266] οὐ κατέβαψαν, διὰ τὸ ἐξ ὑπαρχῆς ἑτέραν ἐργασίαν εἶναι · » καὶ ἐτέρωθι[267] πάλιν · « Καὶ οὐδαμῶς ἔστηκεν ὁ νοῦς πασῶν τῶν γραφῶν, εἰ μὴ ἐν τῷ ὀργάνῳ τῷ τὸν χαλκὸν ἀνασπῶντι. » Καὶ περὶ τῆς διὰ τοῦ ὀργάνου ἀνασπάσεως, ὁ αὐτὸς καὶ τοῦτο φάσκει πρὸς τὸ πέρας τῆς τέχνης.

✶

✶✶

1.1.7 4. — 7. ΠΟΙΗΣΙΣ ΜΑΛΛΟΝ ΤΟΥ ΠΑΝΤΟΣ.[268]

Suite du texte précédent. — Variantes de M en marge de K. — Chap. 3 de la compilation du Chrétien dans E Lb.

1. Ἀλλ’ ἐπειδὴ τῆς ἀμφοτέρων διαιτήσεως οὐκ ἀφῃρέθη τὸ[269] κάλυμμα, δίκαιον ἐξ ὑπαρχῆς τὴν ποίησιν τοῦ παντὸς

265. ἔφασαν Lb, mel. — προσετίθει M.
266. πολὺ] πολλοὶ BE Lb, mel.
267. Lb mg. : renvoi à la page 21 (ci-dessus p. précéd., l. 11.). — ἑτέροθι M.
268. Même titre dans la vieille liste du ms. de Saint-Marc, art. 31, précédé du nom d’Agathodémon (voir l’*Introduction*, p. 175). (*M. B.*) — Titre dans AKE : ποίησις μᾶλλον τοῦ παντὸς λίθου τῆς φιλοσοφίας : dans Lb : ποίησις τοῦ χρυσοῦ, μᾶλλον δὲ τοῦ παντὸς λίθου τῆς φιλοσοφίας.
269. διετήσεως M.

ὑμῖν κόμεως[270] διαγράφειν. Τὸ ξανθὸν μόριον, λέκιθος ἐζεσμένη, λειοῦται ἀσφαλῶς[271] ἐν τῷ χρυσοκομίῳ (?) τῆς τέχνης, ὅ ἐστιν οὐκ ἐν θυείᾳ καὶ δοίδυκι,[272] ἀλλ' ἐν ὀργάνοις μασθωτοῖς εἰσαγομένοις εἰς πύρωσιν χρυσοκομίῳ[273] (?) θερμῷ. Τοῦτο δὲ τὰ ληφθέν- (f. 97 v.) τα συνενοῦνται τοῖς μὴ[274] ληφθεῖσιν ἐν σκιᾷ λειωθέντα. Ταῦτα οὖν ἐνούμενα δὶς ἀνασπῶνται, καὶ τὸ μένον κάτω πάλιν συσσήπεται τῷ ἄνω, οὐκ ἐν τοῖς θρεπτικοῖς ὀργάνοις τοῖς ἔχουσιν τοὺς κρουνούς, ἀλλ' ἐν τοῖς πολοειδέσιν,[275] καὶ τῇ πραείᾳ θέρμῃ ἐντὸς ἡμερῶν μ΄, πλεῖον ἢ ἔλασσον, ἵνα[276] διὰ τῆς σήψεως ἀμετάβλητον φυλαχθῇ τὸ εἶδος.

2. Ὅσπερ γὰρ ἡ κιννάβαρις ἐν τοῖς λέβησιν ὀπτωμένη πάντοθεν[277] πεφιμωμένοις οὖσιν ἀναδίδωσιν τὴν ὑδράργυρον, ἥ ἐστιν ὕδωρ θεῖον[278] λευκὸν καὶ ἄργυρος ὄνομα, ἥ ἐστι ἀποδιδράσκουσα τὰ ἀπολλώνια,[279] « καθάπερ τίς δάφνη παρθένος εἰς τὰ πώματα τῶν λεβήτων ἑαυτὴν[280] αἰωρεῖ, » ἐπαγόμενον ἐνοῦν μετὰ τὴν καθαίρεσιν τοῦ πυρὸς εὑρίσ-

270. κωμαίους M ; κόμεος BA.
271. λέκυνθος BAK ; λέκυθος E — ζεσμένη M.
272. χρυσοκομίῳ] signe de la chrysocolle MBAKE ; E mg. et Lb : ἡλίῳ. Corr. conj. en χρυσοκομίῳ, à cause de τῷ (*M. B.*).
273. M mg. : signe de ὡραῖον. — χρυσοκομίῳ] s. de la chrysocolle M BAKE ; ἡλίου Lb. Corr. conj. (*M. B.*).
274. τούτῳ B etc.
275. κρονοὺς M ; καρποὺς BAE ; κρονοὺς sur καρποὺς K.
276. θερμοῦ E par corr. Lb.
277. ὥσπερ γὰρ ἡ] ἡ γὰρ B etc. — A mg. : σῆ. — ὀπτουμένη MBAK Lb.
278. τὴν puis le signe de l'argent B. — ἐστιν] ·/· M ; τις B etc.
279. λευκὸν] ὕδωρ Lb. — ὄνομα] F. l. ὀνομάζεται.
280. λεκήθων M. F. l. ληκύθων.

κεται[281] καὶ συλλέγεται πυρίφευκτος οὖσα, οὕτως καὶ ἡ ὑδράργυρος ἡ ἀπὸ[282] τῆς τεχνικῆς κινναβάρεως τῆς σπάνης, τουτέστι τῆς σπανίως εὑρισκομένης,[283] τῆς φρυγίας, λέγω δὴ τῆς φριττομένης ἑτοίμι, τάχα δὲ[284] κυριώτερον τῆς καλουμένης καὶ φρυγίας καὶ ἀποδιδρασκούσης ῥαδίως οὐ μόνον τὸ πῦρ, ἀλλὰ καὶ τὴν ἔρευναν τῶν φρενῶν, αἰθερῶδες[285] πνεῦμα γεγῶσαν. Πρός τε τὸ ὑπερκείμενον ἡμισφαίριον ἀναδραμοῦσα[286] κάτεισί τε καὶ ἄνεισι, τὸ δραστήριον τούτου ἀποφεύγουσα, ἕως ἂν τὴν δραπετὶν ὁρμὴν ἀποθεμένη, τοῦ λοιποῦ σῶφρον γενομένη · οὐκέτι[287] γενόμενον, ἀλλὰ καὶ δυσκάθεκτον καὶ θανατῶδες · περὶ οὗ φησιν[288] ὁ Ἀπόλλων ἐν τοῖς χρησμοῖς ·

... καὶ πνεῦμα μελάντερον, ὑγρὸν, ἄχραντον.[289]

3. Τοῦτο λοιπὸν πη- (f. 98 r.) σσόμενον, πήσσει, καὶ κατεχόμενον, κατέχει · καὶ τοῦτο φάσκουσιν ὡς τὸ πέρας τῆς τέχνης · ὁ σοφὸς[290] ἀνακέκραγεν Ζώσιμος · « Πήγνυται δὲ αὐτὴ τῇ ὁμοίᾳ νεφέλῃ · » καὶ τοῦτό ἐστιν τὸ

281. ἐώρει M. — ἐπαγόμενον ἑνοῦν (π sur grattage) M ; ἐναγ. οὖν BAK ; ἀναγομένη οὖν E par corr. Lb.
282. πυρίφλεκτος BAK. — οὕτω πάλιν B etc.
283. σπάνεως E Lb.
284. φρυγομένης B etc. — ἑτοίμως B ; ἑτοίμης AKE Lb.
285. τὴν ἔρευναν] τὸν ἐρευνᾶν M.
286. γεγῶσαν] γεγῶσα BKE ; γεγεῶσα A. F. l. γεγονυῖα.
287. δραπήτην E ; δραπέτιν Lb. Cp. *Introd.* de M. Berthelot, p. 217 et 258. — σώφρων B etc. — γένηται E par corr. Lb.
288. γινομένη E p. corr. Lb.
289. Fragment de vers cité déjà p. 150 et p. 171.
290. ὡς ὁ σ. Z. E Lb.

λεγόμενον τῷ φυσικῷ φιλοσόφῳ · « Τὰ θειώδη βάπτουσι καὶ φεύγουσιν, κατέχονται δὲ ὑπὸ τοῦ συγγενοῦς ὑδραργύρου.[291] Τὸ γὰρ θεῖον λοιπὸν ἕως μιγῇ καὶ τῷ θείῳ θεῖον κρατηθῇ,[292] καὶ τὸ ὑγρὸν ὑπὸ τοῦ καταλλήλου ὑγροῦ. » Διὰ τοῦτο Ζώσιμος[293] ἔλεγεν ἐν βίβλῳ κλειδῶν · « Τάχα οὖν ὑπὸ ἄλλης φύσεως ἡ[294] νεφέλη κατέχεται · ἀκόλουθον ὅτι ἡ φύσις τὴν φύσιν κρατεῖ. »

4. Οἱ δὲ ταῦτα θεώμενοι, φησὶν ὁ Δημόκριτος, ἀνακεκράγασιν[295] λέγοντες · « Ὦ φύσεις οὐρανίων φύσεων δημιουργοί[296] ! Ὦ φύσεις παμμεγέθεις ταῖς μεταβολαῖς νικῶσαι τὰς φύσεις ! » φύσεις[297] οὐρανίους τὰ πολοειδὴ ὄργανα ὀνομάζων, ἐν οἷς τὴν τε σῆψιν εἰργάσαντο[298] καὶ τὴν ἄρσιν τῶν ὑδάτων · οὐ τῶν πρώτων ὑδάτων μόνον φημὶ τῶν διχαζομένων, ἀλλὰ καὶ τῶν ἐσχάτων, ἅπερ οὐχ ὑποδέξονται σταθμοῦ, ἀναγκαῖον μιγνύμενα τοῖς ἀσήπτοις · κἄντε γὰρ ἴσον[299] βάλῃς, ἢ ἔλαττον, ἢ πλεῖον, οὐκ ἀδικηθήσῃ.[300]

5. Κάλλιον · μᾶλλον δὲ, ἧττον βαλέσθαι τὸν χαλκὸν τῷ λειπομένῳ συνθέματι, διὰ τὸ λέγειν Δημόκριτον · « Δεῖ δὲ ἔχειν αὐτὸν καὶ ὀλίγον θεῖον ἄπυρον, ἵνα διαδύῃ τὸ

291. βάπτει mss.
292. τῷ deux fois le signe de θεῖον MBAK ; τὰ deux fois le même signe E ; τὰ θειώδη Lb.
293. καὶ τὰ ὑγρὰ ὑπὸ τῶν καταλλήλων ὑγρῶν E Lb.
294. ἐν βιβλίῳ τῶν κλ. E Lb.
295. ὡς φησὶν B etc.
296. Cp. p. 46, 22. F. l. οὐράνιαι (comme p. 260, 14).
297. φύσις ... νικῶσα M.
298. πολυειδῆ B etc. — ὀνομάζοντες Lb.
299. σταθμὸν E Lb. — ἀναγκαίως E Lb.
300. καλλ. ἐστι, μᾶλλον δὲ E Lb.

φάρμακον ἐντός · » ὀλίγον εἰπὼν[301] θεῖον ἄπυρον ὅ ἐστιν ἄκαυστον, τουτέστιν τὸν χαλκόν. Καὶ πάλιν ἀεὶ τὸ τέταρτον τοῦ ἀσήμου κατέχειν τὸν χαλκὸν, ἄσημον καλῶν τὸν[302] χαλκὸν, διὰ τὸ ἄγνωστον. Χαλκὸν δὲ τὸ πρῶτον ὕδωρ τὸ ἔνσκιον καὶ φευκτὸν, ἀπὸ μεταφορᾶς τοῦ ἐπισκί- (f. 98 v.) ου χαλκοῦ · χαλκὸς γὰρ[303] ἄσκιος οὐδέποτε γίνεται, ὥς φησιν ἡ Μαρία. Χαλκὸς δὲ ἄσκιος[304] γίνεται καλυπτομένης αὐτοῦ τῆς σκιᾶς, τουτέστιν τῆς φυγῆς διὰ τῆς οἰκονομίας.

✶

✶✶

1.1.8 4. — 8. ΑΛΛΩΣ. Η ΟΙΚΟΝΟΜΙΑ.[305]

Suite du texte précédent. — Variantes de M *en marge de* K. — *Chap. 4 de la compilation du Chrétien dans* E Lb.

1. Τινὲς μὲν οὖν οὕτως ἐργασάμενοι εὐδοκίμησαν · ἄλλοι δὲ τὸ πᾶν ζέσαντες ἢ ὀπτήσαντες, ἔκλασαν καὶ διεμέρισαν < ὠὰ > σὺν τοῖς ὀστράκοις, ἀφελόμενοι τοὺς ὑμένας, καὶ βάλοντες ἐν θυείᾳ τὸ λευκόν τε καὶ ξανθὸν, ἐλείωσαν, ἅμα προσθέντες ἐπὶ τοῦ ξανθοῦ καὶ ἄλλην μοῖραν λεκίθου · ἐπὶ δὲ τοῦ λευκοῦ τοὐναντίον, διὰ τὸ λέγειν Ζώσιμον ·

301. καὶ θεῖον ἄπ. B etc.
302. ἀσήμου] ἀργύρου BAKE ; E mg. : ἀσήμου raturé (rature grattée). — M mg. : *nrum* (nostrum ?), d'une main du 16e siècle.
303. χαλκοῦ om. B etc.
304. χαλκὸς — γίνεται om. BAKE ; restit. E mg.
305. ἡ om. B etc.

« Ἐπὶ μὲν τοῦ λευκοῦ λαμβάνει δύο μέρη ἄσβεστον,[306] ἐπὶ δὲ τοῦ ξανθοῦ πάλιν κροκοῦ μέντοι καὶ ἐλύδριον τὸ διπλάσιον.[307] Εἰ γὰρ ὀξυτονήσωμεν τοῦ κροκοῦ, καὶ μὴ βαρύνομεν, ὅ ἐστιν παροξυτονήσομεν,[308] εὑρήσομεν σαφῶς τὸ λεγόμενον. »

2. Εἶτα ποιήσαντες τῇ αὐτῇ συσταθμίᾳ σύνθεμα ὑδάτων τοῖς μασθωτοῖς ὀργάνοις, λειοῦσιν ἐν ἰγδίῳ καλῶς. Καὶ ποιήσαντες ἐλαίου ἢ οἴνου ἢ ζύθου πάχος, διχάζουσιν, καὶ χωρὶς πυρὸς καταίρουσιν,[309] τοῦ « ἔα κάτω, καὶ γενήσεται » μεμνημένοι. Μετὰ δὲ τὸν τεταγμένον[310] χρόνον, ποιοῦσιν τῶν ὑδάτων τῶν ἀθίκτων τὴν ἄρσιν, ἥ ἐστιν[311] κώμαρις σκυθικὴ, καὶ χαλκὸς ἰοποιηθείς.

3. Καὶ μαρτυρεῖ αὐτοῖς Πετάσιος, γράφων · « Τινὲς δὲ ἐν τοῖς ὀργάνοις ἴωσαν » ἀντὶ τοῦ « διὰ τῶν ὀργάνων ἀνέσπασαν τὸν χαλκόν · » καὶ μίξαντες ἀμφότερα, λέγω δὴ τὸ σαπὲν πέταλον τῷ μὴ σαπέντι πετάλῳ, καὶ τοῖς βολβίτοις ἀπέδωκαν (f. 99 r.) πρὸς δύο ἢ τρεῖς. Καὶ τοῦ ποθουμένου ἔτυχον, ὥς φησιν, εἴτε οὕτως, εἴτε ἐκείνως, εἴτε ἄλλως · ἡ πεῖρα διδασκαλίη. Ἔρρωσο ἐν Κυρίῳ.[312]

✶

✶✶

306. λαμβάνειν μέρη β΄ ἀσβέστου B etc.
307. κρόκου B etc. — ἐλυδρίου (ἐλιδ. BAK) B etc.
308. τὸν κρόκον E Lb.
309. κατεροῦσι BAK ; καθαιροῦσι E Lb, F. l. κατερῶσι.
310. ἔα] ἐὰν M. — Cp. Stephanus, t. 2, p. 247, l. 21 éd. Ideler.
311. ἀθήκτων M.
312. διδάσκαλος BA Lb ; διδάσκαλος εἴη K E.

1.1.9 4. — 9. ΤΙΣ Η ΤΩΝ ΑΡΧΑΙΩΝ ΑΣΒΕΣΤΟΣ.[313]

Transcrit sur M, f. 99 r. — *Collationné sur* B, f. 98 r. :— *sur* A, f. 97 r. ;— *sur* E, f. 12 r. ;— *sur* Lb, p. 35. — *Chap.* 5 *de la compilation du Chrétien dans* E Lb.

1. Οὕτως δὲ ὄντος τοῦ πράγματος καὶ τῆς φύσεως αὐτὴν κατεχούσης,[314] ἔλθωμεν ἐπὶ τὴν πολύφημον ἄσβεστον τῶν ἀρχαίων · αὕτη γὰρ οὐ καθάπερ ἡ τῶν λίθων τίτανος ἀσβεστουμένη λευκαίνεται, τοὐναντίον[315] δὲ καὶ μελαίνεται. Λειωθέντος γὰρ τοῦ εἴδους, καὶ χωρισθέντος τοῦ φυσικοῦ ὑγροῦ, ἡ μείνασα ὕλη κάτωθεν ἐν τῷ πατελλίῳ ὀπτᾶται καὶ[316] μελαίνεται, καὶ ὀνομάζεται ἄσβεστος, ἥτις ληφθεῖσα πάλιν, τῇ οἰκείᾳ συνενοῦται ψυχῇ, καὶ τεθεῖσα ἐν ἀσινεῖ καμίνῳ ἡμέρας ιε′ ἢ ὥρας[317] σύμμετρον ἐχούσῃ τὴν θέρμην, αἴρεται ἀπὸ τῆς τοιαύτης καμίνου[318] καὶ μερίζεται τῶν ἰδίων αἰθαλῶν τῷ ὀργάνῳ, καὶ ποιεῖ τὸ δι' ἀσβέστου,[319] εἰ εὑρεθῇ λευκὸν τὸ ἀναγόμενον · εἰ δὲ ξανθὸν, ποιεῖ τὸ[320] ἄθικτον. Οὐδὲν γὰρ διαφέρουσιν ἑαυτῶν τὰ δύο ὑγρὰ ταῦτα, εἰ

313. Titre dans A : ἑτέρα ποίησις ἀσβέστου biffé, puis le titre de M. — ἀρχαίων] παλαιῶν E Lb. E mg. : *alias* ἀρχαίων.
314. αὐτὴν E Lb.
315. ἡ τῶν χαλκιτῶν τίτανος Lb. — ἀσβέστου (en signe) μένει M ; ἀσβέστου μένη BA. — corrigé d'après E mg. et Lb.
316. πατ.] πετάλῳ B etc.
317. ἀσήνη M ; ἀσίγη BA. — ἢ ὥρας om. Lb. — Lb mg. : *alias* ὥρας.
318. συμμ.] ἰσόμετρον E Lb.
319. αἰθαλῶν αἰθάλεται E ; αἰθ. αἰθάλλεται ἐν τῷ ὀργ. Lb.
320. M mg. : signe de ξανθὸν puis ξανθὸν en toutes lettres (main du 15e siècle). — εἰ δὲ ξ., ξανθὸν ποιεῖ ἄθικτον. E Lb. — ποιεῖ ἄθ. B etc.

μὴ τῷ[321] χρώματι μόνον · εἰσκρίνουσι γὰρ ὡς αὕτως, καὶ βάπτουσι καὶ κατέχουσιν. Ἡ δὲ τοῦ πρώτου πυρὸς ποσότης δείκνυσιν τὴν αὐτῶν ἑτερότητα, μάλιστα εἰ μιᾶς ὑπάρχοιεν ὕλης, ξανθῆς ἢ λευκῆς. Φησὶ γὰρ Ἑρμῆς ὅτι ὁ μέγας θεὸς χρυσόκολλα ἐν πρώτοις πάντα ποιεῖ, ἀντὶ[322] τοῦ · ἡ μεγάλη θέρμη τοῦ πυρὸς ἐν τῷ πρώτῳ ὑδραργυρισμῷ τὸ πᾶν δυνάμει συγκατεργάζεται. Ἐὰν γὰρ μὴ ἐκείνη πρώτη ἐργάσηται,[323] ἡ δευτέρα οὐ φαίνεται παντελῶς · ἐκείνη γὰρ καὶ πολλῆς ἀστοχίας οὐκ ἀμοιρεῖ, οὐ μό- (f. 99 v.) νον ὅτι φευκτῶν αἰθαλῶν ἐστὶν μήτηρ, ἀλλ' ὅτι[324] καὶ τὸ χρῶμα τὸ ζητούμενον οὐκ ἀεὶ φέρει.

✴
✴✴

1.1.10 4. — 10.

Suite du texte précédent. — *Une ligne de blanc dans* M. — *Simple alinéa dans* BA. — *Simple point dans* E Lb.

Τινὲς μὲν οὖν τὸν ἰὸν χαλκοῦ ἐπὶ τοσοῦτον ἀνάγουσιν

321. ἄθηκτον M.
322. Ἑρμῆς en signe M (notations alchim. ; *Introd.*, pl. 1, col. 2, l. 7). M mg. : ἕρμης (de la main de Bessarion ?) — ὁ Ἑρμῆς Lb. — ὅτι om. B etc. — χρυσόκολλα, en signe] ὁ ἥλιος Lb, f. mel. (Cp. ci-dessus, p. 156, l. 6 ; p. 175, 14.)
323. ἐργάζηται E ; ἐργάζηται καλῶς Lb.
324. αἰθαλῶν] αἰ suivi du signe de αἰθάλαι BA.— Réd. de E : φευκτῶν αἰθαλῶν ἡ φύσις ἐστὶ καὶ μήτηρ, ἀλλ' ὅτι ... — Même réd. dans Lc, sauf l'omission de ἡ φύσις.

ἕως ἂν καὶ τὴν[325] πᾶσαν σχεδὸν σκωρίαν ταῖς πολλαῖς ἐκμυζήσεσι δαπανήσωσιν, λειοῦντες[326] καὶ ἐπιβάλλοντες, καὶ ἀνάγοντες διὰ τὸ λέγειν Ἀγαθοδαίμονα[327] · λάμβανε αἰθάλας καὶ αἰθάλας. Εὑρίσκουσι δὲ οὗτοι τὸ μὲν πρῶτον,[328] ξανθὸν, τὸ δὲ δεύτερον, λευκὸν, τὸ δὲ τρίτον, μέλαν.[329]

✶

✶✶

1.1.11 4. — 11. ΑΛΛΗ ΟΙΚΟΝΟΜΙΑ ΤΗΣ ΑΣΒΕΣΤΟΥ.

Transcrit sur M, f. 99 v. — *Collationné sur* B, f. 99 r. ;— *sur* A. f. 97 v. ;— *sur* E, f. 13 r. ;— *sur* Lb, p. 39. — *Chap.* 6 *de la compilation du Chrétien dans* E Lb.

1. Ἔνιοι δὲ ξανθὸν βαλόντες ὕδωρ ἐν ταῖς ἰώσεσιν, ἢ λευκὸν κατὰ φύσιν ἅπαξ ἀνασπάσαντες ἠρκέσθησαν αἰθάλαις αἰθαλῶν, τὴν πρώτην καὶ[330] τὴν δευτέραν μετὰ τὴν ἴωσιν κρίναντες. Ἔλεγεν γὰρ ὅτι οὐ τὸ πολλάκις ἀνάγεσθαι χαρίζεται τοῖς ὑγροῖς τὸν κάτοχον καὶ τὴν εἴσκρισιν,[331] ἀλλ'

325. ἰὸν om. B etc. — τὸν χαλκὸν Lb.
326. ταῖς biffé E. — ἐκζυμώσεσι B etc.
327. τὸν Ἀγαθοδαίμονα E Lb.
328. αἰθάλας καὶ αἰθάλας en signe MBAE ; αἰθάλας καὶ θεῖα Lb. Signe douteux.
329. ξανθὸν] ὕδωρ ξανθὸν A.
330. ἠρκέσθησαν puis le signe de αἰθάλαι, puis αἰθάλαις αἰθαλῶν M ; ἠρκ. le signe, puis αἰθαλῶν BA ; ἠρκ. le signe, puis αἰθάλαις αἰθαλῶν E ; E mg. : αἰθάλαις avec renvoi au signe ; ἠρκ. αἰθάλαις αἰθαλῶν Lb.
331. χαρίζεται om. B etc. — τὸ κάτ. E Lb.

ἡ τῶν σωμάτων συμπλοκή, καὶ ἡ τῶν ὀργάνων ἰδιότης, καὶ ἡ διὰ τῆς κηροτακίδος διαφορά, καὶ ἡ ποσότης τῶν ἡμερῶν ἐν τῇ σήψει.[332]

2. Συμβαίνει δὲ τὸν ἰόχαλκον ταῖς πολλαῖς αἰθάλαις μὴ μόνον μελαίνεσθαι τῇ τῶν στερεῶν σωμάτων χροιᾷ βαπτόμενον, ἀλλ' ἔσθ' ὅτε καὶ δαπανᾶσθαι τελείως. Τοῦτο δὲ οἱ τελέσαντες παραχρῆμα ἑτέραις αἰθάλαις ὁμοχρώοις τῆς κινναβάρεως συνέμιξαν καὶ ἀπέθηκαν · ἡ αἰθάλη τῆς ὑδραργύρου αἰθάλῃ μιγεῖσα παραμονιμώτερον τηρεῖ τὸ[333] ποίημα τῆς ὑδραργύρου · καὶ πάλιν τάχα οὖν ὑπὸ ἑτέρας τῆς φύσεως[334] νεφέλης κατέχεται.

✴

✴✴

1.1.12 4. — 12. ΕΤΕΡΑ ΠΟΙΗΣΙΣ ΑΣΒΕΣΤΟΥ.

Suite du texte précédent. — Chap. 7 de la compilation du Chrétien dans E Lb.

Ἄλλοι δὲ ἄσβεστον μόνην λευκὴν ἐχρήσαντο πρὸς τὴν σῆ- (f. 100 r.) ψιν[335] · ἀλλ' ἐπὶ μὲν τοῦ λευκοῦ κομά-

332. κηρωτ. M.

333. ἡ] ἢ M ; ἡ δὲ E Lb. — A mg. : βεβαιότερον (écriture du temps), avec renvoi à παραμονιμώτερον.

334. ποίημα signe : Π contenant un ν M ;— contenant un η B ;— contenant un ο A ; ποίημα sur le signe de A, dans E ; ποίημα seul dans Lb. — τῆς φύσεως om. B etc.

335. ἀσβέστῳ B etc. — μόνη BA ; μόνῳ E Lb. — λευκὴν en signe M ; même signe altéré B devenu signe de l'or dans AE ; χρυσοῦ Lb.

ρεως ἔβαλλον ὕδατα[336] λευκὰ ὀργανιστά, ἐπὶ δὲ τῶν ξανθῶν ἔβαλλεν ὕδατα ξανθά · καὶ[337] πέψεως γενομένης ἡμερῶν τριῶν ἀνεκομίζετο, καὶ προσφάτοις ὁμοειδέσιν[338] προσέπλεκον, ὡς ἐπὶ τῆς πορφύρας τὸ τριακοστόδυον βάλλοντες.[339] Ἔλεγεν γὰρ Ἑρμῆς ὅτι πορφύραν οἱ παλαιοὶ καὶ πορφυρόχρωμον[340] λίθον οἶδαν τὸν ἰόχαλκον. Ἰδοὺ γὰρ Ἑρμῆς, πρὸς τὸν Παύσηριν[341] γράφων, ἔλεγεν ὅτι « Ἐὰν εὕρῃς τὸν πορφυρόχρωμον λίθον, γίνωσκε ὅτι[342] ἐκεῖνός ἐστιν · ἔχεις δὲ αὐτὸν, ὦ Παύσηρι, κεχαραγμένον ἐν τῷ[343] κλειδίῳ · » καίτοι τοῦ Ἑρμοῦ οὐδαμοῦ βαφὴν λίθων ἢ πορφύρας[344] ποιησαμένου συγγραφὴν, ἀλλὰ καὶ τὸ κλείδιον περὶ τῆς κατὰ δύο[345] συνθέματα κωμάρεως γέγραπται, ὡς ἀνοικτικῆς τοῦ ἰοῦ δυσχερείας[346] · τῆς μέντοι ἀσβέστου πολλὴν φροντίδα πεποίηται.

✶

✶✶

336. ἔβαλον B etc., f. mel.
337. ἔβαλον B etc., qui om. le signe de ὕδατα.
338. πέψεως] A mg. : χωνόσεως (2e main du temps) ; E mg. : *alias* χωνώσεως. — ἀνεκομίζοντο B etc.
339. τριακοστόδιον B etc.
340. F. l. πορφυροῦν.
341. λίθον en signe MBAE ; χαλκίτην Lb, sur grattage. — οἴδασι B etc. — ἰόχαλκον] χαλκὸν Lb. — Πάνσηριν Lb.
342. τὸν] τὸ M. — Après λίθον] χαλκάνθου E, d'une autre main. — λίθον] χάλκανθον Lb.
343. ὡς παυσήρει M ; ὦ Πάνσηρι Lb.
344. βαφὴν] σαφῆ B etc. — λίθων] χαλκάνθου Lb.
345. κατὰ τα δύο Lb.
346. ἀνοικτικὸν τῆς τοῦ ἰοῦ δυσχερείας Lb.

1.1.13 4. — 13. ΑΛΛΩΣ.[347]

Suite du texte précédent. — Chap. 8 de la compilation du Chrétien dans E Lb.

Τινὲς δὲ τὴν ἄσβεστον ὁμοίοις ὕδασι μίξαντες ὡς εἰ ὥραν μίαν[348] διανέστησαν καὶ ἀνεκομίσαντο, φάσκοντες ὡς τὸ Μαρίας μολίβου[349] μονοήμερον, εὑρίσκοντες Ζώσιμον λέγοντα · « Ἀλλὰ τὸν τοῦ λίθου[350] χρήσιμον · » καὶ ταύτην ἠγοῦντο σῆψιν καὶ ἴωσιν. Διότι γράφει[351] Δημόκριτος · « Τινὲς δὲ ἐν τοῖς ὀργάνοις ἴωσαν. » Ὃν ἑρμηνεύων[352] Πετάσιος ἔφασκεν · « Ἀντὶ τοῦ · διὰ τῶν ὀργάνων ἐποίησαν τὸν ἰόχαλκον · καὶ τοῦτο λαβόντες ὕδωρ εἴνωσαν ἄλλο ὕδατι ἀνασπάστῳ,[353] ἐν ᾧ ἦν ἄσβεστος ὀστρακίτης · ὡς αὖτως ἴσον αὐτῷ βαλόντες διὰ τὸ[354] λέγειν τὸν φιλόσοφον · « Λάβε τοῦ ἐν ὑστέροις σου δηλωθησομένου[355] μέρος ἓν, καὶ χρυσοζωμίου ὃ ἐστιν (f. 100 v.) χρυσάνθιον καὶ χρυσοκογχύλιον. Τοῦτο γὰρ Ἑρμῆς τὸ ταὐτὸν ἔφησεν ὡς πολυώνυμον[356] ἀγαθόν. Λαβὼν οὖν

347. Titre dans A : ἄλλως περὶ ἀσβέστου : dans E Lb : ἄλλως π. τῆς ἀσβ. η΄.
348. A mg. : ⋆ τὸ βαλόμενον λέγεται τὸ δ^{ον} (1re main). — ὁμοίως E Lb.
349. ὡς τὸ τοῦ τῆς Μαρ. μολίβδου μον. ἐστιν E Lb.
350. τὸ τοῦ λ. χρ. B etc.
351. διὰ τὸ γράφειν τὸν Δημόκριτον E Lb.
352. ὃν] ὃ B etc.
353. τὸ ὕδ. ἤνωσαν ἄλλῳ ὕδ. B etc.
354. ὀστρακίτης] courbe pointillée sur της dans M. (F. l. ὀστράκιτις ?).
355. σου] σοι B etc.
356. Ἑρμῆς en signe MBAE ; Ἑρμῆν Lb. — τοῦτ' αὐτὸν E ; τοῦτ' αὐτὸ Lb. — ἔφησαν E Lb.

καὶ αὐτοῦ μέρος ἓν, ἐπιβαλὼν ὕδωρ θείου ἀθίκτου[357] καὶ κόμμι ὀλίγον, πᾶν σῶμα βάψεις. » Τῇ δὲ αὐτῇ ἀγωγῇ[358] ἐπ' ἀμφοτέρων τῶν ὑδάτων ἐχρῆτο.[359]

✴
✴✴

1.1.14 4. — 14. < ΑΛΛΩΣ.[360] >

Simple alinéa dans BAE. — *Chap.* 9 *de la compilation du Chrétien dans* Lb.

Ἕτεροι δὲ τὸν σποδὸν τῶν πρώτων ὑδάτων ταῖς ἀπ' αὐτῶν αἰθάλαις[361] ἐνώσαντες ὡς εἰ κ° τῇ γ° βαλόντες καὶ προδιχάσαντες, ταύτας ἔβρεχον ὡς ὥραν μίαν, καὶ ἀνεκομίζοντο ὕδωρ. Καὶ πάλιν ἑτέραν[362] βαλόντες, ἀπέβρεχον καὶ ἀνεκομίζοντο. Καὶ τρίτον καὶ σποδῷ[363] μίξαντες, ἀνελάμβανον τὰς αἰθάλας, καὶ οὕτω ταῖς ὑπολελειμμέναις αἰθάλαις ἔμισγον, λευκαῖς καὶ ξανθαῖς ἢ ἀλλοίαις, τοῦ σταθμοῦ μὴ φροντίσαντες · καὶ οὗτοι Ζωσίμῳ τῷ μεγάλῳ ἐξακολουθοῦντες[364] εἰπόντι · « Πάντη γὰρ ἢ πλεῖον ἢ ἔλαττον, οὐδὲν

357. ἐπίβαλλε Lb. — ὕδ. ἀθίκτου BA.
358. κώμη M. — καὶ πᾶν ... B etc. — ἀγωγῇ καὶ ἐπ' ἀμφοτέρων B etc.
359. ἐχρήσατο BA ; ἐχρήσαντο E Lb.
360. Titre dans Lb : ἄλλως · κεφ. ϑ'.
361. ἀπ' αὐτῶν] ἀπάντων E par corr. Lb.
362. τὸ ὕδωρ B etc.
363. λαβόντες ἀνέβρεχον B etc. — καὶ σποδῷ] τῇ σπ. B etc.
364. Ζωσίμῳ] Δημοκρίτῳ B etc. — τῷ μεγ. om. BAE. — ἐξακολ. ἐποίουν εἰπόντι E Lb.

ἀδικήσεις · ἓν γάρ[365] ἐστι τὸ ζητούμενον ἀπ᾽ αἰῶνος, ἡ τῆς ποιήσεως ἀγωγή.[366] »

✶
✶✶

1.1.15 4. — 15. ΑΛΛΩΣ.[367]

Suite du texte précédent. — Chap. 9 *dans* E, 10 *dans* Lb, *de la compilation du Chrétien.*

Ἔνιοι δὲ τὰς σκώριας ἀπέσταζον ὡς ἐπὶ τῆς σαπωναρικῆς ἐργασίας, δεύτερον καὶ τρίτον ταύτας ἐν ἡμέρᾳ μιᾷ ὑπαλλάττεσθαι[368] ὁμοειδέσι καὶ ὁμοχρώοις ἐνοῦντες ὕδασιν · ἀρκεῖσθαι γὰρ ἔφασκον τῇ[369] πρώτῃ ἐξαιθαλώσει.

✶
✶✶

365. F. l. ἀδικηθήσῃ (comme p. 277, 10).
366. Cp. p. 91, 18. — ἡ τῆς ποιήσεως ἀγωγή om. Lb, f. mel. (Titre du morceau suivant ?)
367. ἄλλως om. B ; καὶ ἄλλως A ; καὶ (biffé) ἄλλως κεφ. ϑ′ (κεφ. ϑ′ biffé) ἡ τῆς ποιήσεως ἀγωγή E ; même titre dans Lb qui aj. κεφ. ι′.
368. ὑπαλλάττοντες Lb.
369. ὁμοχρόοις B etc.

1.1.16 4. — 16. ΕΤΕΡΩΣ. Η ΠΟΙΗΣΙΣ.[370]

Suite du texte précédent. — Chap. 10 *dans* E, 11 *dans* Lb, *de la compilation du Chrétien.*

Τινὲς δὲ οὐκ ἐν ἡμέρᾳ μιᾷ μόνον, ἀλλ' ἐν ἡμέραις ἐννέα, διὰ[371] τριῶν ἀποστάζοντες τῶν ὑγρῶν τὴν ποσότητα, καὶ προσπλέκοντες τὴν ἴσην καὶ ὁμοίαν ποσότητα τῶν ὑδάτων, ἐφύλαττον (101 r.) εἰς[372] καιρὸν καταβαφῆς.

✶
✶✶

1.1.17 4. — 17. ΕΤΕΡΩΣ. Η ΑΓΩΓΗ.[373]

Suite du texte précédent. — Chap. 11 *dans* E, 12 *dans* Lb, *de la compilation du Chrétien.*

Ἄλλοι δὲ οὕτως ἐποίουν · ἀνέσπων ἐκ τρίτου τὰς αἰθάλας · καὶ[374] τότε τῷ ὑπολείμματι ἔβαλλον ἐξ αὐτοῦ δύο καὶ τῇ γ°, καὶ[375] εἶχον τὸ φάρμακον.

370. Titre dans A : ἐτ. ἡ ποίησις (en rouge), puis : ἤγουν ἀγωγὴ en noir, de la même main. — Titre dans E : ἑτέρως ἡ ἀγωγὴ ἰ′ (ι′ biffé).
371. μόνως B.
372. ποιότητα B etc.
373. Titre dans E Lb : ἐτ. ἡ τῆς ποιήσεως ἀγωγή.
374. ἀνέσπων] ἀνέσπον M ; ἀνέσπεσον A (1er σ aj. de 2e main) ; ἀνέσπασον E ; ἀνέσπαζον Lb. Corr. conj.
375. ἔβαλλεν M ; ἔβαλον BAE. — ἐξ αὐτοῦ δύο καὶ]. L'espace blanc est après καὶ dans BA ; ἐξ ἑαυτοῦ (corrigé en ἐξ αὐτῶν) δύο καὶ (καὶ biffé ; om. Lb) τῇ γ°, (sans espace blanc) E Lb. F. l. δύο κ° τῇ γ°.

✶
✶✶

1.1.18 4. — 18. ΣΥΜΠΕΡΑΣΜΑ ΤΗΣ ΠΟΙΗΣΕΩΣ.

Suite du texte précédent. — Chap. 12 *dans* E, 13 *dans* Lb, *de la compilation du Chrétien.*

Ἐγὼ δὲ τοὺς πόνους πάντων ἀποδεξάμενος, ἔλεγον μὴ μάτην εἰρηκέναι Ζώσιμον Θεοσεβείᾳ γράφοντα · « Μέγας γὰρ διδάσκαλος[376] πεῖρα τοῖς ἐχέφροσιν ἐκ τῶν ἀναδεικνυμένων, ἀεὶ μηνύουσα τὰ συμφέροντα.[377] Οὗτός ἐστιν ὁ περὶ τῆς ἀσβέστου λόγος τῆς παγκράτου[378] τιτάνου, τῆς ἀηττήτου καὶ μόνης ἀφελεστάτης, ἣν ὁ εὑρὼν ἄνωθεν[379] νικήσει μεθόδῳ τὴν ἀνίατον πενίαν νόσον. Ἔρρωσθε, φίλοι καὶ δοῦλοι[380] Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

✶
✶✶

376. θεοσεβῆ MBA ; τὸν θεοσεβῆ E Lb. Corr. conj. — γράφοντα biffé E ; om. Lb, et, au-dessus dans E, seul dans Lb : ὅς ἐστι. — γὰρ om. AE.
377. ἐν πειρατοῖς τοῖς ἐχέφροσιν Lb. — μηνύων E Lb.
378. παγκρατοῦς BA, mel.
379. τιτάνου en signe M, et au-dessus τῖταν (main du 14e siècle ?) ; τιτάνου en toutes lettres et sans signe dans Lb. — ἀσφαλεστάτης B etc., mel.
380. πενίας B etc., mel.

1.1.19 4. — 19. Procédés de Jamblique.[381]

Transcrit sur A, f. 266 r. — *Toutes les variantes insérées dans le texte sont des corrections conjecturales.*

1. ΙΑΜΒΛΙΧΟΥ ΚΑΤΑΒΑΦΗ. — Ἁλὸς καππαδοκικοῦ δραχμαὶ β′ · κινναβάρεως ἰταλικῆς γ° ἥμισυ · ἀρσενίκου γ° α′ · χαλκίτεως ὀπτῆς δρ. ΣΤ′[382] · σιδήρου σκόληος, ὅ ἐστιν λεπίδες ὤχρας γρ. ΣΤ′. Τινὲς δὲ σιδηροχάλκου βάλλουσιν δρ. ιβ′ · σποδίου γ° ἥμισυ · ἰοῦ γ° γ′ · χρυσοκόλλης δρ. ΣΤ′ · κατμίας θρακικῆς γ° ἥμισυ · λειοτριβήσας ἰδίᾳ, καὶ ὁμοῦ μίξεις · πρόσβαλε μανδραγόρου χυλὸν ἕως γένηται γλοιοῦ πάχος, καὶ τρίβε ἕως ξηρανθῇ · καὶ[383] πρόσβαλε αἷμα λαγωοῦ θαλασσίου, ἕως γένηται πάλιν γλοιοῦ πάχος · καὶ[384] τίθει (f. 266 v.) ἐν καλάμῳ ζῶντι ἐς τὸν τέταρτον κόνδυλον, καὶ φιμώσας ἐρείῳ ῥάκκει, ἕα ἐπὶ ἡμέρας ιδ′ · καὶ λαβὼν εὑρήσεις σίδηρον. Τοῦτον[385] τρίψον μετὰ οἴνου εὐώδους, ἕως γένηται γλοιοῦ πάχος · καὶ ἔχε ἐν κόγχῳ. Εἶτα χωνεύσας τὸ ἴσον χρυσὸν καθαρὸν, καὶ ἐπίβαλε τὰ ἐν τῷ κόγχῳ · καὶ χώνευσον ἕως καπνὸν μὴ ἰσχύῃ, ποιῇ δὲ ὀσμὴν θείου · καὶ[386] ἐξελὼν ψύγε.

2. Εἶτα λείωσον · καὶ πρόσβαλε χολὴν ἰχνεύμονος, ἢ

381. ἡ ἀβλίχου κατὰ βαφῆ A.
382. σιδήρου] signe de σίδηρος ou de λίθος A. Lecture conj. (*M. B.*). — σκόληος] F. l. σποδίου (*M. B.*).
383. γλύου A ici et partout.
384. τίθη A.
385. ἐρέω ῥάκκι A.
386. ἰσχυὶ A. — ποιεῖ A.

ἀλώπηκος,[387] ἢ ἀλεκτρυόνος μελόποδος, καὶ πυρίτου τροχίσκον · ξήρανον ἐν σκιᾷ, καὶ[388] λείωσας κατάγγισον εἰς ὑέλινον ἄγγος · καὶ τούτῳ εἰς πυξίδα μόλυβδον[389] ἢ κασσίτερον βάλλων, κατάχωσον εἰς ἱππείαν ἐπὶ ἡμέρας ιε′, καὶ λαβὼν ποίει οὕτως. Ἐπὶ μὲν ὀξείας λαβὼν τοῦ φαρμάκου τριόβολον ὁλκῆς,[390] καὶ χολὴν καμήλου τὸ ἴσον, τρίβε, καὶ δὸς σησάμου τὸ μέγεθος · ἐὰν δὲ[391] ἀλύπως κοσμῆσαι ἐν ἡμέραις ζ′ · ἐὰν δὲ ἐν ἡμέραις ι′, φακοῦ τὸ μέγεθος. Ἐπὶ δὲ ὑποκεχυμένον ἀνὰ παρακεντήσεως, λειοτριβήσας ἀπὸ τῆς πυξίδος,[392] μικρὸν μετὰ γάλακτος γυναικείου ἀρρενοτόκου, ἐνχρίων ἐπὶ ἡμέρας[393] ζ′. καὶ μὴ λούων ἐπὶ ἡμέρας μΣΤ′.[394]

3. Ἐπὶ δὲ καταβαφῆς, βάλε κρόκου, μίσεως ὠμοῦ, χαλκάνθου, κυανοῦ,[395] ἐλυδρίου ἀνὰ δρ. α′ εἰς τὴν λίτραν τοῦ ἀργύρου, ὅταν διαγελάσῃ · Εἶτα τοῦ ἀναπροζυμίου (?) τοῦ ἀπὸ τῆς πυξίδος, στατῆρας γ′ · οἱ ἡδὲ[396] γγ° β′ ἥμισυ · ἐν δὲ ἀλὸν πάντα ὁμοῦ μίσγεται καὶ [ὑπο] ἐμπάσεται, ἕως[397] ὅτε χορτασθῇ ὁ ἄργυρος, καὶ μηκέτι ποιῇ. Σημεῖον δὲ τοῦτο φυρᾶται, καὶ πάλιν καθήται.

4. (f. 267 r.) ΙΑΜΒΛΙΧΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν κυθά-

387. ἢ χνεύμονος A.
388. μελόποδος] F. l. μελπῳδοῦ ? (*M. B.*). F. l. μελανόποδος ? (*C. E. R.*).
389. πηξίδα A ici et partout. Corr. conj. (*M. B.*).
390. ποίε A ici et presque partout.
391. F. l. ἔα δὲ ἀλ. κοιμῆσαι.
392. ἐπὶ δὲ] F. l. ἔπειτα.
393. μικρὸν] F. l. μῖξον.
394. F. l. καὶ μὴν λούων.
395. μύσεος ὁμοῦ A.
396. F. l. οἱ δὲ.
397. F. l. ἐν δὲ ἄλλῳ (comme plus bas) (*M. B.*).

ραν καινὴν, θὲς[398] ἐπ' αὐτὴν φιάλην, καὶ βάλε ἐν τῇ φιάλῃ ὑδραργύρου γ° α′ ἥμισυ, χαλκοῦ, κασσιτέρου καθαροῦ ῥερινισμένου γ° α′ ἥμισυ ἢ β′, καὶ ἔλαιον ὀλίγον, καὶ ὑπόκαιε μέχρις ἐνωθῇ. Εἶτα λαβὼν, συλλείωσον αὐτοῖς ταῦτα · στυπτηρίας σχιστῆς γ° α′ ἥμισυ, μυσίδην ὠμὸν γ° α′ ἥμισυ,[399] ἀρσενίκην γ° α′ ἥμισυ, καὶ βάλε εἰς λοπάδα καινήν · καὶ ὕδωρ θείου[400] μετὰ κόμεως ὀλίγου συλλειώσας αὐτοῖς καὶ περιπηλώσας ἀσφαλῶς,[401] ἕψει μαλθακῷ πυρὶ, μέχρις εἰκάσῃς συμπεπλεχθῆναι τὸ εἶδος. Ἔπειτα[402] ἄρας, βρέχε εἰς ὄξος ἅλμην στερεὰν ἐπὶ ἡμέρας ζ′. Εἶτα ξηράνας λείωσον,[403] καὶ ἐπίβαλε θείῳ ἐλαίῳ βράσαντι, ἵνα κηρώδης γένηται, καὶ εὐθέως[404] πήσεται ὡς λίθος. Τοῦτο πάλιν λείωσον, ὅταν ξηρανθῇ · συμμιγνύων αὐτῷ λίθου πυρίτου γ° α′ ἥμισυ, κατμίας ὀστρακίνης, ἐν δὲ ἄλλῳ,[405] κταμίας ὀλυμπικῆς ἣν χρῶνται οἱ βαφεῖς, ἣν καὶ πλακίτην καλοῦσιν[406] · ὁμοῦ λειώσας, ἐπίβαλε τῷ ἀργύρῳ διαγελάσαντι, μεθ' οὗ χορτασθῇ,[407] καὶ ἀποπτύσῃ. Καὶ λαβὼν τοῦ ἀργύρου τούτου μέρος α′, χρυσοῦ μέρη γ′, καὶ νεφέλης τὸ διπλοῦν, ποίει μάλαγμα · καὶ βάλε εἰς ὑέλεον ληκύθιον, ὑποστρώ-

398. ἡ ἀμβλίχου ποίησις A. — F. l. κύθραν.
399. μυσίδην] ici et plus loin. F. l. μυσίδιν (diminutif néogrec de μύσι ou μίσυ ?)
400. F. l. ἀρσενίκιν ici et plus loin (diminutif néogrec ?).
401. συλείοσας A.
402. εἰκάσῃς] ἡ κάσις A.
403. ὄξος en signe ἅλμην A. F. l. ὀξάλμην αὐστηρὰν ?
404. F. l. θεῖον.
405. ἄλλο A.
406. ἣν χρόνται ἡ βαφῆς A.
407. τὸ ἀργ. A. — μεθ' οὗ] F. l. μέχρις οὗ (Cp. p. précéd., l. 11).

σας σινωπίδος, καὶ χαλκάνθου ἐξ ἴσου · ὁμοῦ λειώσας, καὶ ποίει σύμφιμον, ὅπτα νυχθήμερον · καὶ ἐξελὼν, τρίβε μετὰ ἐλαίου ῥεφανίνου καὶ λιθαργύρου λευκῆς · καὶ σφαιροποιήσας κατάσπασον · καὶ οὕτως σύνκρουσον χρυσὸν εὐρύζον, ἔνκαιε, καὶ ἔσται [408] εὐρύζον.

5. ΧΡΥΣΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν χαλκὸν καθαρὸν ἐρυθρὸν, ποίει λα- (f. 267 v.) μνία ἰσχνὰ, καὶ ἐπίθες ἐπὶ ἀνθράκων πυρὸς, ὑπόφυσον φυσητῆρσι, καὶ ἔνπασον ἄλας τὸ ἐρυθρὸν καὶ κοινόν · εἶτα ὤχρας, εἶτα ἅλας · καὶ στρέψας τὸ λαμνίον, τὸ αὐτὸ ποίει, καὶ τοῦτο ποίει πολλάκις ὡσεὶ ἀρέσει, ὡς καὶ διασκοπὲν τὸ ἔργον φανῆναι χρυσόν · τὴν γὰρ [409] χρείαν καὶ ἔσωθεν ἔχει.

6. Λαβὼν οὖν τούτου τοῦ χρυσοῦ γράμμα α΄, καὶ ἀργύρου πρωτείου ἀραιωθέντος γράμματα γ΄, χώνευε καὶ ποίει πέταλα, καὶ χρίσον τοῦ σιδήρου τοῦ ἐκ τῆς ἑβραϊκῆς πράξεως γράμματα β΄ ἄνω καὶ κάτω, καὶ [410] γίνεται ὡς χρυσὸς μέλας · καὶ πάλιν χώνευσον · τοῦτο ποίει ἐκ τρίτου, καὶ εὑρίσκεις χρυσὸν παροικονούμενον, καὶ βαλεῖς τῆς ἀληθείας γ° α΄, [411] καὶ τοῦ σώματος < μαγνησίας ? > γ° α΄, καὶ ἔσται εὐρύζον.

7. ΧΡΥΣΟΥ ΔΙΠΛΩΣΙΣ. — Νεφέλην ζέσον ἐλαίῳ ῥεφανίνῳ · εἶτα πῆξον καὶ λείωσον ἐν ὄξει καὶ στυπτηρίαν

408. εὔρυζον ici et plus loin] F. l. ὄβρυζον.
409. F. l. ὥς σοι ἀρέσει. — F. l. διασκοπεῖς.
410. ἐυραϊκῆς A.
411. F. l. τοῦ ἀληθοῦς (opposé à παροικονούμενον).

σχιστὴν, καὶ ἁλὶ ἐπὶ ἡμέρας[412] ζ΄ · καὶ γλυκάνας, ξήρανον, καὶ ἔχε.

Καὶ λαβὼν κιννάβαριν, κινναβάρισον ἐλαίῳ ῥεφανίνῳ · εἶτα πῆξον εἰς ληκύνθη, καὶ ἀσφαλισάμενος, θὲς < ἐν > χώστρᾳ ὥρας ΣΤ΄ · καὶ[413] πλύνας, βάλε εἰς θυείαν καὶ στυπτηρίαν, καὶ ἅλας, καὶ τρίβε ἐπὶ ἡμέρας ζ΄ · καὶ ἀποπλύνας ὕδατι, γλύκιζε, ξήρανον, καὶ ἔχε.

Καὶ λαβὼν χρυσοκόλλαν, οἰκονόμει οὔρῳ δαμάλεως ἐπὶ ἡμέρας ζ΄. Εἶτα πυρὶ κατάβαπτε εἰς ἔλαιον ῥεφάνινον ἡμέρας ζ΄ ἢ η΄. Ζέννυε ἐλαίῳ[414] ῥεφανίνῳ, καὶ ἔχε.

Εἶτα λαβὼν μυσίδην, οἰκονόμει οὔρῳ ἀφθόρου ἐπὶ ἡμέρας ζ΄ ἢ καὶ πλείονας, ξηράνας, ἔχε.

Εἶτα λαβὼν ἀρσενίκην, λείε καὶ βρέχε ὄξει πάλιν ἡμέρας ζ΄ · καὶ[415] ζέννυε τὸν ζωμὸν ἐν ᾧ ἐβράχη (f. 268 r.) ἐπὶ πολύ. Εἶτα πλύνας καὶ[416] ἀποσειρώσας αὐτῆς τὴν ἀχλὺν, ξήρανον. Εἶτα λαβὼν οὖρον βοὸς[417] μεῖναν ἡμέρας ζ΄, καὶ πλύνας, ξήρανον, καὶ ἔχε.[418]

Εἶτα λαβὼν χαλκάνθου μέρος α΄, καὶ θείου ἀπύρου μέρος α΄, συνλείου καὶ ὄπτα ἐν χώστρᾳ < ἢ > ἐν ληκυθίῳ ἡμέραν γ΄, καὶ ἔχε.

8. Εἶθ' οὕτως ποίησον μίξιν τῶν εἰδῶν ἢ τῆς νεφέλης

412. F. l. στυπτηρίᾳ σχιστῇ.
413. ληκύνθη] F. l. ληκύθι (néogrec ?).
414. F. l. πυρροκατάβαπτε. Cp. p. suiv. l. 3 et 5.
415. λείε] F. l. λύε.
416. τὸ ζωμό A.
417. οὖρος A.
418. μίναντα A. — ξήραν A.

γ° α′, κινναβάρεως[419] γ° α′, χρυσοκόλλης γ° γ° β′, μίσεως δρ. ΣΤ′ γράμμα α′ · τρίβε ὁμοῦ μετὰ ὄξους ὀλίγου, ποίει πηλῶδες, καὶ ὄπτα < ἐν > κλιβάνῳ ἕως διάπυρον γένηται τὸ ἄγγος ἐπὶ πολύ · καὶ τούτῳ τῷ ὀπτηθέντι μίξον ἀρσενικὴν[420] δρ. β′, σανδαράχην δρ. β′, κόμμεως δρ. β′. Ὁμοῦ λύε ὕδατι θείῳ τῷ[421] διὰ οὔρου ἡμέρας ζ′, καὶ ποίει γλοιῶδες τοῦτο · χρῶ · καὶ τούτῳ χρίε[422] τὰ πέταλα, καὶ ἀλλαγήσεται.

9. Ἐὰν δὲ αὐτὸ ξηρίον θέλῃς ἔχειν, ξήρανον, καὶ, ὅτε βούλει, ἄνες τῷ ὕδατι τῷ διὰ οὔρου καὶ θείου, καὶ χρίε τὰ πέταλα γενόμενα διὰ τῆς[423] μίξεως τοῦ χαλκοῦ καὶ ἀργύρου καὶ χρυσοῦ. Ἔστιν δὲ ἡ μίξις ἥδε[424] · ἀργύρου καθαροῦ μέρος α′ · χαλκοῦ νικαηνοῦ πρωτείου μέρος τὸ ἥμισυ. Μέρισον εἰς β′ τὸν χαλκὸν, καὶ τὸ ἥμισυ συγχώνευσον γ′ τὸν ἄργυρον,[425] ἵνα καλῶς καταμιγῇ · καὶ πεταλίσας πάσον πυρίτην οἰκονομηθέντι,[426] ὀξάλμῃ ἡμέρας ζ′ καὶ γλυκανθέντι, καὶ ὀπτηθέντι ἐμφίμῳ χώστρᾳ ἡμέρας βοταρίῳ (?), καὶ λαβὼν χώνευσον, καὶ πάλιν βάλε τὸ ἄλλο μέρος τοῦ χαλκοῦ ὄξει, ἄργυρον καὶ χώνευσον γ′ τῷ αὐτῷ τρόπῳ.[427]

10. Εἶτα πεταλίσας καὶ πάσας πάλιν τὸν πυρίτην, ὄπτα νυχθήμερον α′ · καὶ συλλειώσας νεφέλην ἰταλικὴν πρὸ

419. ἦ] F. l. ἤγουν.
420. τοῦτο τὸ A.
421. F. l. σανδαράχιν (néogrec ?).
422. χρί A.
423. τὸ ὕδατι τὸ A.
424. μίξεις εἶδε A.
425. F. l. τῷ ἡμίσει. — γ′] F. l. τρὶς.
426. F. l. οἰκονομηθέντα, γλυκανθέντα et ὀπτηθέντα.
427. γ′] F. l. τρὶς.

ὀφθαλμῶν, (f. 268 v.) τὸ ἥμισυ,[428] χώνευσον τοῦτο δεύτερον, καὶ τότε σύνκρουε χρυσὸν ἴσον, καὶ πεταλίσας,[429] περικατάβαπτε εἰς τόνδε ζωμόν · κρόκον, κνήκου ἄνθος, ἐλυδρίου,[430] κατμίας ζωνίτιδος ἀνὰ μερικὸν α΄ · ὁμοῦ λύει ὄξει αἰγυπτίῳ ἡμέρας ζ΄[431] · πυρροκατάβαπτε. Καὶ τότε λαβὼν τὸ πέταλον, χρίε πρῶτον φαρμάκῳ[432] πτερῷ · καὶ ξηράνας, ὄπτα εἰς ἐπίλυχνα χώστρα νυχθήμερα β΄ · καὶ[433] ἀνελόμενος, σύνπτυξον τὰ πέταλα · καὶ λαβὼν εἰς χώνην, ὑπόφιμον[434] ποιήσας, χώνευσον κλιβάνοις, καὶ εὕροις ἠλέκτρου ἀσκιάστου.[435]

Σουμάριον · ἐτησίου μέρος α΄, κροτήματος σιδήρου μέρος α΄, σώματος μαγνησίας μέρος α΄ · τρίψον ὁμοῦ · ὄπτα ἡμέρας ε΄, καὶ εὑρήσεις μέλαν ὁμιλήζων (?) · τούτου λαβὼν μέρη β΄, ὀρειχάλκου πρωτείου μέρη β΄, χώνευσον ἕως καταμιγῇ καλῶς, καὶ γίνεται ἠλέκτρου κρεῖσσον.[436]

✶

✶✶

428. F. l. πρὸς ὀφθαλμοὺς (*M. B.*).
429. A mg. : ζωμὸν πυρὸ καταβαφῆς.
430. F. l. πυρροκατάβαπτε.
431. F. l. ἀνὰ μέρος α΄.
432. πυροκατάβαπται A.
433. F. l. ἐπίλυχνον χώστραν.
434. λαβὼν. F. l. βαλὼν.
435. ἠλέκτρου] ἡ λίτρου A.
436. ἡ λίτρου κρείσον A.

1.1.20 4. — 20. ΚΟΜΑΡΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΑΡΧΙΕΡΕΩΣ ΔΙΔΑΣΚΟΝΤΟΣ ΤΗΝ ΚΛΕΟΠΑΤΡΑΝ ΤΗΝ ΘΕΙΑΝ ΚΑΙ ΙΕΡΑΝ ΤΕΧΝΗΝ ΤΟΥ ΛΙΘΟΥ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.[437]

Transcrit sur A, f. 74 r. — *Collationné sur* Lc, p. 1 ;— *sur* M, f. 40 v. (*depuis le* § 7) ;— *sur l'éd. de Stephanus donnée par Ideler*, Physici et medici græci, t. 2, p. 248 (*depuis le même* § 7).

1. Κύριε ὁ θεὸς τῶν δυνάμεων, ὁ πάσης κτίσεως δημιουργός, ὁ τῶν οὐρανίων καὶ ὑπερουρανίων δημιουργὸς καὶ τεχνίτης, ὁ μακάριος καὶ ἀεὶ διαμένων, ὑμνοῦμεν, εὐλογοῦμεν, αἰνοῦμεν, προσκυνοῦμεν τὸ ὕψος τῆς βασιλείας σου. Σὺ γὰρ ὑπάρχεις ἀρχὴ καὶ τέλος, καὶ σοῦ ὑπακούει[438] πᾶν κτίσμα ὁρατὸν καὶ ἀόρατον, ὅτι ἔκτισας αὐτα. Ἐπεὶ δὲ ὑπουργὸς κέκτιται ἡ ἀΐδιος βασιλεία σου, ἱκετεύομέν σε, κύριε πολυέλεε, διὰ τὴν[439] ἄφατον φιλανθρωπίαν σου, φώτισον τὸν νοῦν καὶ τὰς καρδίας ἡμῶν, ὅπως καὶ ἡμεῖς δοξάζειν σε τὸν μόνον ἀληθινὸν θεὸν ἡμῶν, καὶ πατὴρ τοῦ[440] κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας αἰώνων · ἀμήν.

437. Titre dans Lc : Ἔκθεσις ἀνωνύμου τινὸς εἰς τὴν τοῦ Κωμαρίου τοῦ φιλοσόφου καὶ ἀρχιερέως βίβλον τοῦ διδ. κ. τ. λ.
438. σοῦ] σοι Lc.
439. κέκτηται Lc.
440. δοξάζωμεν Lc. — πατέρα Lc.

2. (f. 74 v.) Ἀπάρξομαι ταύτης τῆς βίβλου τῆς χρυσικῆς καὶ ἀργυρικῆς[441] γραφίδος τῆς ποιηθείσης παρὰ Κομαρίου τοῦ φιλοσόφου καὶ[442] Κλεοπάτρας τῆς σοφῆς περὶ κρίσεως · βίβλος καθ' ἡμᾶς οὐχὶ τῆς[443] ὑπὲρ ἡμῶν βίβλου περιέχουσα τῶν φώτων καὶ οὐσιῶν τὰς ἀποδείξεις ἐν ταύτῃ τῇ βίβλῳ διδασκάλου Κομαρίου τοῦ φιλοσόφου ἀρχιερέως πρὸς Κλεοπάτραν τὴν σοφήν.

3. Κομάριος ὁ φιλόσοφος τὴν μυστικὴν φιλοσοφίαν τὴν Κλεοπάτραν διδάσκει, ἐπὶ θρόνου καθήμενος καὶ [ἐν] τῆς λησευμένης αὐτοῦ τῆς[444] φιλοσοφίας ἀφαψάμενος. Ἔτι οὖν μυστικὴν τὴν γνῶσιν τοῖς νοήμοσιν[445] σησέν τε καὶ τῇ χειρὶ ὑπέδειξεν τὸ πάσας μόνας καὶ διὰ τεσσάρων[446] τοιχείων γυμνάσας καὶ ἔλεγεν[447] ·

4. « Ἡ μὲν γῆ ἐστερέωται ἐπάνω τῶν ὑδάτων, τὰ δὲ ὕδατα ἐν ταῖς κορυφαῖς τῶν ὀρέων. Λαβὼν οὖν τὴν γῆν, ὦ Κλεοπάτρα, τὴν οὖσαν[448] ἐπάνω τῶν ὑδάτων, καὶ ποίησον σῶμα πνευματικὸν, τὸ πνεῦμα τοῦ[449] στυπτηρίου · ταῦτα

441. ἀπάρξωμαι τὰ νὺν, ὦ φιλόσοφοι τ. τ. β. Lc.
442. καὶ] F. l. χάριν.
443. καὶ πρὸς Κλεοπάτραν τὴν σοφὴν Lc. — κρίσεως] F. l. κτίσεως. — ἡ β. δ' αὕτη κ. ἡ. ἐστιν οὐχὶ ... Lc. ἐν ταύτῃ ...] Réd. de Lc : αὕτη δὲ ἡ β. ἐστὶ τοῦ διδασκαλίου.
444. διδάσκων Lc. — καθ. καὶ τῆς πολλοὺς λανθανούσης φιλ. ἐφαψ. Lc. — F. l. λησομένης.
445. ἔτι δὲ καὶ τὴν μ. γν. Lc. — τοῖς νοήμοσιν] τῆς νεύμασιν A Lc. Corr. conj.
446. καὶ ἐν τῇ χ.] Réd. de Lc : διδάξας καὶ εἰπὼν κ. τ. χ. ὑποδείξας ὅτι τὸ πᾶν ἐστι μονὰς.
447. γυμνάσας τὰς φρένας, ταῦτα ἔλεγεν. Lc.
448. λαβὼν] Il faut λαβοῦσα.
449. τῷ πνεύματι Lc, mel.

ἔοικε τῇ γῇ καὶ τῷ πυρὶ, τὰ μὲν τὴν θερμότητα[450] τῷ πυρὶ, τὰ δὲ ξηρότητα τῇ γῇ · τὰ δὲ ὕδατα ὄντα ἐν ταῖς κορυφαῖς τῶν ὀρέων ἐοίκασιν τῷ ἀέρι κατὰ μὲν τὴν ψυχρότητα, τῷ ὕδατι κατὰ μὲν[451] τὴν ὑγρότητα, [τῷ ἀέρι] καὶ τῷ πυρί. Ἰδοὺ ἐξ ἑνὸς μαργαρίτου καὶ ἑνὸς ἄλλου, ἔχεις, ὦ Κλεοπάτρα, πᾶν βαφεῖον.[452] »

5. Λαβοῦσα ἡ Κλεοπάτρα τὸ ὑπὸ Κομαρίου γραφὲν, ἤρξατο παρεμβολὴν ποιῆσθαι χρήσεων ἑτέρων φιλοσόφων, τοῦ τετραμερεῖν τὴν καλὴν[453] φιλοσοφίαν, τουτέστιν τὴν ὕλην ἀπὸ τῶν φύσεων, ὡς διδαγμένην καὶ[454] εὑρισκομένην, καὶ ἰδέαν τῶν πράξεων τῆς διαφορᾶς αὐτῆς · οὕτως καὶ[455] τὴν καλὴν φιλοσοφίαν ζητοῦντες, τετραμερεῖν ταύτην εὕρομεν ἢ εὑρήκαμεν[456] ἑκάστου τὴν γενικὴν τῆς (f. 75 r.) φύσεως · πρῶτον ἔχουσα μελάνωσιν,[457] δεύτερον λεύκωσιν, τρίτον ξάνθωσιν, τέταρτον ἴωσιν · πάλιν δὲ[458] ἕκαστον τῶν εἰρημένων οὐκ ἐκ γενικῆς ἔχων πλὴν ἑαυτοῖς, πάντως εἰ μὴ[459] στοιχείων, ἡμεῖς κέντρον, δι' οὗ κατὰ τάξιν προβαίνων · οὕτως καὶ ἐνταῦθα, μεταξὺ μελάνσεως καὶ

450. F. l. τῆς στυπτηρίας. — κατὰ τὴν θερμ., puis κατὰ τὴν ξηρ. Lc.
451. κατὰ δὲ τὴν ὑγρ. Lc.
452. τὸ παμβάφιον Lc.
453. τοῦ τετραμ. τ. κ. φιλοσοφίαν κ. τ. λ. Cp. 3, 44, 5 (= ⋆).
454. αὐτὴν τὴν ὕλην τὴν Lc. — διδασκομένη Lc ; δεδειγμένην ⋆, mel.
455. τὴν ἰδέαν Lc. — F. l. καὶ ἰδεῖν. — τὰς διαφορὰς ⋆, mel. — οὕτω δὲ καὶ ἡμεῖς Lc.
456. ἢ εὑρήκαμεν om. Lc.
457. ἔχουσαν ⋆, mel. Cp. 3, 29, 2. — καὶ ἥτις πρῶτον μὲν ἔχε μ. Lc.
458. πάλιν — ἐνταῦθα (l. 9) om. Lc.
459. πλησίον ἑαυτοῦ ⋆, mel. — ἡμιστόχιον ἢ μεσόκεντρον ⋆.

λευκώσεως, καὶ ξανθώσεως καὶ ἰώσεως,[460] ἔστιν ἡ ταριχεία καὶ τῶν εἰδῶν ἡ πλύσις · μεταξὺ λευκώσεως καὶ ξανθώσεως[461] ἔστιν ἡ χρυσοχοωποίησις, καὶ τοῦ ξανθώσεως καὶ λευκώσεως[462] μέσον δέ ἐστιν ὁ τοῦ συνθήματος διχασμός.

6. Περατώσης ἡ δι' ὀργάνου τοῦ μασθωτοῦ οἰκονομία, ἐπλανώσεως[463] πρῶτον τοῦ χωρισθῆναι τῶν ὑγρῶν ἀπὸ τῶν σποδῶν, διὰ τοῦ χρόνου τὸ μάκρος · καὶ ταριχεία δευτέρα ἡ μίξις τῶν ὑδάτων < καὶ > τοῦ σποδίου[464] ὑγροῦ · λύσις τρίτη τῶν εἰδῶν ἑπτάκις καέντα ἐν τῷ πυρὶ ἐν τῇ ἀσκαλωνίτιδι[465] γάστρᾳ · οἷόν ἐστι λεύκωσις καὶ ἀπομελανισμὸς τῶν εἰδῶν διὰ τῆς τοῦ πυρὸς ἐνεργείας · ξάνθωσις τετάρτη, ἥτις μιγεῖσα μετὰ τοῖς ἄλλοις[466] ὕδασιν ξανθοῖς ποιεῖται κηρίων εἰς ξάνθωσιν, πρὸς τὸ ζητούμενον · χοωποίησις[467] πέμπτη ἀπὸ ξάνθωσιν εἰς χρύσωσιν φέρουσα. Ξάνθωσίς ἐστιν, ὡς πρόκειται, ὁ διχασμὸς τοῦ συνθέματος · ἥτις μερισθεῖσα εἰς δύο, καὶ τὸ μὲν ἓν μέρος μίγνυται μετὰ ὑγροῖς ξανθοῖς καὶ λευκοῖς, καὶ πρὸς[468] ὃ ἐθέλεις χοωποιῆσαι. Πά-

460. μεταξὺ δὲ Lc.
461. μεταξὺ δὲ Lc.
462. τοῦ] τούτῶν ⋆.
463. περάτωσις δέ ἐστιν ἡ διὰ τοῦ ὁ. Lc. — ἡ πλανῶσα πάντας ἐν τῷ χωρίζεσθαι τὰ ὑγρὰ ἀ. τ. σπ. Lc.
464. σποδιαίου Lc.
465. λύσις τρίτη ...] ἡ δὲ τρίτη, ἡ λύσις τ. εἰδῶν ἡ ἑπτ. καίουσα τὰ εἴδη ἐν τῇ ἀ. γ. Lc.
466. ξάνθ. τετ.] ἡ δὲ τετ., ἡ ξάνθ. ἐστιν Lc. — μετὰ τῆς A ; σὺν τοῖς Lc.
467. καὶ ποιοῦσα κηρίον Lc. — ἡ δὲ πέμπτη ἐστὶν ἡ χοοπ. ἡ ἀπὸ ξανθώσεως Lc. — ἀπὸ ξάνθωσιν] accord néogrec.
468. μετὰ ...] σὺν τοῖς ὑγρ. καὶ ξ. Lc. — καὶ πρὸς ...] τὸ δὲ ἕτερον μέρος ἐπιβάλλεται πρὸς ὃ Lc.

λιν εἴ τι ἡ σῆψις ἴωσις, σῆψις ἴωσις εἰδῶν,[469] τουτέστιν ἴωσις καὶ σῆψις ἡ τελεία τοῦ συνθέματος ἐκστροφὴ τῆς[470] χρυσώσεως.

7. Δεῖ οὖν καὶ ἡμᾶς οὕτως, ὦ φίλοι, ποιεῖν ὅτε τὴν τέχνην ταύτην[471] περικαλλῆ βούλεσθε προσεγγίσαι.[472] Βλέπετε τὴν φύσιν τῶν βοτανῶν πόθεν[473] ἔρχονται. (f. 75 v.) Τὰ μὲν γὰρ ἐκ τῶν ὀρέων κατέρχονται, καὶ ἐκ τῆς γῆς ἐκφύονται, καὶ τὰ μὲν ἐκ κοιλάδων ἀνέρχονται, τὰ δὲ ἐκ πεδίων ἀνάγονται. Ἀλλὰ βλέπετε πῶς ἐγγίζεται αὐτα · ἐν καιροῖς γὰρ καὶ ἐν ἡμέραις ἰδίαις[474] τρυγήσατε αὐτά · καὶ ἐκλέξασθε ἐκ τῶν νήσων τῆς θαλάσσης, καὶ ἐκ τῆς χώρας τῆς ἀνωτάτης · καὶ βλέπετε τὸν ἀέρα τὸν διακονοῦντα αὐτοῖς,[475] καὶ τὸν σῖτον τὸν περικυκλοῦντα < ἵνα > μὴ λυμήνηται, μηδὲ θανατώσηται. Βλέπετε τὸ θεῖον ὕδωρ ποτίζον τὰ αὐτὰ, καὶ

469. πάλιν εἴ τι] ἔστι δὲ Lc. — εἰδῶν om. Lc.
470. ἰώσει καὶ σήψει ἴωσις Lc.
471. Ici reprennent le ms. M (f. 39 r.) et l'éd. d'Ideler, t. 2, p. 248), où manquent la fin de Stephanus ainsi que nos §§ 1 à 6 de Comarius, et où le texte qui va suivre est donné comme la continuation de Stephanus, 9e leçon. (Voir l'*Introduction* de M. Berthelot, p. 182.) — A mg. : *V. Steph.* 9 (main du 16e siècle ?) — Bien que disposant à partir d'ici du ms. de Saint-Marc, principale base de notre publication, nous continuons à transcrire le ms. A pour le traité de Comarius. Les variantes de M non admises seront données en note. Nous n'indiquons celles d'Ideler que lorsqu'elles diffèrent de M. — Δεῖ οὖν ...] Réd. de M et d'Ideler : Καὶ ὑμεῖς, ὦ φίλοι, ὅταν τὴν τέχνην ...
472. περικαλλῆ] περιχαρῶς Lc. — βουλόμεθα Lc. — Après προσεγγίσαι] Lc ajoute : μετὰ δὲ ταῦτα ἡ Κλεοπάτρα ἔλεγε πρὸς τοὺς φιλοσόφους.
473. πόθεν ἔρχ. τὰ φυτά ; Lc.
474. γὰρ] F. l. δὲ. — ἐν κ. γὰρ αὐτῶν Lc.
475. δι ἡ οἰκονῦντα A ; διοικονοῦντα Lc.

τὸν ἀέρα τὸν[476] κυβερνῶντα αὐτὰ, ἐπειδὴ ἐσωματώθησαν ἐν μιᾷ οὐσίᾳ.

8. Ἀποκριθεὶς δὲ Ὀστάνης καὶ οἱ σὺν αὐτῷ εἶπον τῇ Κλεοπάτρᾳ[477] · « Ἔν σοι κέκρυπται ὅλον τὸ μυστήριον τὸ φρικτὸν καὶ παράδοξον. Σαφήνισον ἡμῖν τηλαυγῶς καὶ περὶ τῶν στοιχείων · εἰπὲ πῶς κατέρχεται[478] τὸ ἀνώτατον πρὸς τὸ κατώτατον, καὶ πῶς ἀνέρχεται τὸ κάτω[479] πρὸς τὸ ἀνώτατον, καὶ πῶς ἐγγίζει τὸ μέσον πρὸς τὸ ἀνώτατον ἐλθεῖν[480] καὶ ἐνωθῆναι τὸ μέσον, καὶ τί τὸ στοιχεῖον αὐτοῖς · καὶ πῶς κατέρχονται[481] τὰ ὕδατα εὐλογημένα τοῦ ἐπισκέψασθαι τοὺς νεκροὺς περικειμένους[482] καὶ πεπεδημένους καὶ τεθλιμμένους ἐν σκότει καὶ γνόφῳ ἐντὸς[483] τοῦ Ἅιδου, καὶ πῶς εἰσέρχεται τὸ φάρμακον τῆς ζωῆς καὶ ἀφυπνίζει αὐτοὺς ὡς ἐξ ὕπνου ἐγερθῆναι τοῖς κτήτορσιν · καὶ πῶς εἰσέρχονται[484] τὰ νέα ὕδατα, ἐν τῇ ἀρχῇ τῆς κλίνης, καὶ ἐν τῇ κλίνῃ τικτόμενα,[485] καὶ μετὰ τοῦ φωτὸς ἐρχόμενα καὶ νεφέλη βαστάζει αὐτὰ, καὶ ἐκ θαλάσσης ἀναβαίνει ἡ νεφέλη ἡ βαστάζουσα τὰ ὕδατα, τὰ ἐμφανισθέντα δὲ θεω- (f.

476. βλέπετε δὲ Lc. — τὸ ποτίζον Lc.
477. ἀποκριθέντες δὲ οἱ φιλόσοφοι εἶπον πρὸς τὴν Κλεοπάτραν Lc.
478. εἰπὶ δὲ Lc.
479. κατώτατον Lc.
480. πρὸς τὸ ἀν. καὶ κατώτατον ὥστε ἐλθεῖν Lc.
481. F. l. τῷ μέσῳ.
482. παρειμένους M. — τὸν νεκρὸν περικείμενον Lc.
483. πεπηδημένον καὶ τεθλιμμένον Lc. — ἐν σκότῳ M.
484. ἐν τοῖς κητώσιν A. Réd. de Lc : ἐξεγειρόμενον ἐκ τῶν κοιτόνων (pour κοιτώνων).
485. ἅπερ ἐν τῇ ἀρχῇ M.

76 r.) ροῦντες οἱ φιλόσοφοι χαίρονται.[486]

9. Ἡ δὲ Κλεοπάτρα ἔφη πρὸς αὐτούς · τὰ ὕδατα εἰσερχόμενα ἀφυπνίζουσι τὰ σώματα καὶ τὰ πνεύματα ἐγκεκλεισμένα καὶ ἀσθενῆ ὄντα · πάλιν γὰρ, φησὶν, θλίψιν ὑπέστησαν καὶ πάλιν περικλεισθήσονται ἐν τῷ Ἅιδῃ, καὶ κατὰ μικρὸν ἐμφύονται καὶ ἀναβαίνουσι καὶ[487] ἐνδύονται ποικίλα χρώματα, καὶ ἔνδοξα καθάπερ τὰ ἄνθη ἐν τῷ[488] ἔαρι, καὶ αὐτὸ τὸ ἔαρ εὐφραίνεται καὶ γάννυται ἐν τῇ ὡραιότητι ἣν[489] περίκεινται.[490]

10. Ὑμῖν δὲ λέγω τοῖς εὖ φρονοῦσι · τὰς βοτάνας καὶ τὰ στοιχεῖα καὶ[491] τοὺς λίθους ὅταν ἐπαίρητε ἐκ τῶν τόπων αὐτῶν, ὡραῖοι μὲν φαίνονται λίαν καὶ οὐχ ὡραῖοι, ἐπειδὴ τὰ πάντα τὸ πῦρ δοκιμάζει · ὅταν δὲ ἐνδύσωνται[492] τὴν δόξαν ἐκ τοῦ πυρὸς καὶ τὴν χροιὰν τὴν περιφανῆ, ἐκεῖ ὁράσεις[493] μείζονες δόξῃ κεκρυμμένῃ, τὸ σπουδαζόμενον κάλλος, καὶ χοότης μεταβληθεῖσα[494] εἰς θεότητα, ὅτι ἐν τῷ πυρὶ τιθήνησιν αὐτὰ, ὥσπερ τὸ ἔμβρυον ὑπὸ τῆς γαστρὸς τιθηνούμενον καταβραχὺ αὔξει. Ὅτε δὲ προσεγγίσει ὁ μὴν ὁ νενομισμένος, οὐ κωλύεται τοῦ μὴ ἐξελθεῖν. Οὕτως ὑπάρχει καὶ ἡ

486. δὲ om. A ; ἃ Lc.
487. φύονται M.
488. ποικ. κ. ἔνδ. χρώμ. M. — ἄνθη] βάθη A.
489. ἀέρι A. — γάννυται] γαλήνηνται A ; ἀγάλλεται Lc.
490. περίκειται Lc.
491. Signe du mercure sur βοτάνας M.
492. οὐκ εἰσὶν δὲ ὡραῖοι Lc.
493. ὁράσεις μείζ.] ὡραϊσμοὶ μείζ. εἰσι Lc.
494. δόξῃ ...] Réd. de Lc : ἐκεῖ δόξα κεκρυμμένη, τὸ σπουδ. κάλλος ἔχουσα τῆς μεταβληθείσης ὕλης εἰς τὴν θεότητα διὰ τὸ πυρός · ὥσπερ γὰρ τὸ βρέφος, ἤγουν τὸ ἐμβρ. τὸ ὑπὸ τῆς γ.

τέχνη αὕτη ἡ ἀξιάγαστος · τιτρώσκουσιν αὐτὴν κλύδωνες καὶ κύματα[495] ἀλλεπάλληλα ἐν τῷ Ἅιδει καὶ ἐν τῷ τάφῳ ἐν ᾧ κατάκεινται. Ὅταν δὲ[496] ἀνεωχθῇ ἡ τάφος, ἀναβήσονται αὐτὰ ἐξ Ἅιδου ὡς οἷα βρέφος ἐκ γαστρός.[497] Θεωρήσαντες δὲ[498] οἱ φιλόσοφοι τὸ κάλλος, οἷα φιλόστοργος μήτηρ τὸ τεχθὲν[499] ἐξ αὐτῆς βρέφος, τότε ζητοῦσι πῶς ἵνα τιθηνήσωσιν ὡς βρέφος, τὴν τέχνην ταύτην ἀντὶ γάλακτος τοῖς ὕδασιν. Μιμεῖται γὰρ ἡ τέχνη τὸ βρέφος (f. 76 v.), ἐπειδὴ καὶ ὡς τὸ βρέφος μορφοῦται, καὶ ὅταν τελειωθῇ[500] ἐν τοῖς πᾶσιν, ἰδοὺ μυστήριον ἐσφραγισμένον.[501]

11. Ἀπὸ τοῦ νῦν δὲ ἐρῶ ὑμῖν τηλαυγῶς ποῦ κεῖνται τὰ στοιχεῖα καὶ[502] αἱ βοτάναι · ἐν αἰνίγμασι δὲ ἄρξομαι τοῦ λέγειν. Ἄνελθε εἰς τὴν στέγην[503] τὴν ἀνωτάτην, εἰς τὸ δασὺ ὄρος ἐν δένδροις, καὶ ἰδοὺ πέτρα ἐν τῇ ἀκρωρείᾳ,[504] καὶ ἐκ τῆς πέτρας λάβε ἀρσένικον, καὶ λεύκαναι θείως. Καὶ ἰδοὺ

495. τιτρ. αὐτὴν] τιτρ. γὰρ αὐτῆς τὸ νεκρὸν Lc.
496. κατάκειται Lc.
497. Réd. de Lc : ἀναβήσεται ἐκ τοῦ τάφου ὁ πρώην νεκρὸς ὁ φυσίζωος, οἷα βρέφος ἐκ γαστρός.
498. δὲ om. M.
499. θεωρήσαντες — καὶ ὅταν] Réd. de Lc : καὶ τότε θεωροῦσιν οἱ φιλ. τὸ κάλλος αὐτοῦ, καὶ θαυμάζουσι χαίροντες · ὥσπερ δὲ φιλοστ. μ. τὸ τ. ἐ. α. βρ. ἀναθάλπει καὶ τρέφει · οὕτω δὴ καὶ οἱ φιλ. τότε ... ζητ. πῶς τιθηνήσουσι · ὡς βρέφος τὸν νεκρὸν αὐτῶν τῇ τέχνῃ, ὡς γάλακτι τοῖς ὕδ. χρησάμενοι. Καὶ οὕτως ἡ τ. μιμ. τὸ βρ. μιμ. καὶ μορφ. καὶ ὅταν ...
500. ἐπειδὴ — μορφοῦται M ; μιμύται καὶ μορφ. A.
501. ἐν τούτοις πᾶσιν M.
502. ἀπὸ τοῦ om. Lc.
503. Réd. de Lc : ἄνελθε εἰς τὸν ἀνωτατον τόπον, εἰς τὸ δασῶδες ὄρος, καὶ εὑρήσεις πέτραν, ὑποκάτω τῶν δένδρων ἐν τῇ ἀκρωρείᾳ ...
504. ἀνωτάτω M.

ἐν[505] τῇ μέσῃ τοῦ ὄρους κάτωθεν τοῦ ἀρσενικοῦ, ἐκεῖ ἐστιν ἡ ὀμόζυξ αὐτοῦ,[506] ἐν ᾗ ἑνοῦται, μεθ' ἧς ἔχει τὴν τέρψιν. Καὶ χαίρεται φύσις ἐν φύσει καὶ[507] ἐκτὸς αὐτοῦ οὐχ ἑνοῦται. Κάτελθε εἰς τὴν αἰγυπτιακὴν θάλασσαν, καὶ[508] ἀνάγαγε μεθ' ἑαυτοῦ ἐκ τῆς ψάμμου ἐκ τῆς πηγῆς τὸ λεγόμενον νίτρον.[509] Καὶ ἕνωσον αὐτὰ ἀλλήλοις, καὶ αὐτὰ ἐξάγει ἔξω τὸ παμβαφὲς κάλλος,[510] καὶ ἐκτὸς αὐτοῦ οὐχ ἑνοῦται · μέτρον γὰρ αὐτοῦ ἐστιν ἡ ὀμόζυξ. Ἰδοὺ[511] φύσις τῇ φύσει ἀνταποδίδοται, καὶ ὅταν τὰ πάντα ἰσομέτρως συναθροίσῃς, τότε νικῶσιν αἱ φύσεις τὰς φύσεις καὶ τέρπονται ἐν ἀλλήλαις.

12. Βλέπετε, σοφοί, καὶ σύνετε. Ἰδοὺ γὰρ τὸ πλήρωμα τῆς τέχνης τῶν[512] συζευχθέντων νυμφίου τε καὶ νύμφης καὶ γενομένων ἕν. Ἰδοὺ αἱ βοτάναι καὶ αἱ διαφοραὶ αὐτῶν. Ἰδοὺ εἶπον ὑμῖν πᾶσαν τὴν ἀλήθειαν, καὶ πάλιν ἐρῶ ὑμῖν · βλέπετε καὶ σύνετε, ὅτι ἐκ τῆς θαλάσσης ἀνέρχονται τὰ νέφη[513] βαστάζοντα τὰ ὕδατα τὰ εὐλογημένα, καὶ αὐτὰ ποτί-

505. καὶ λεύκανον γὰρ τοῦ θείου A ; λεύκανον αὐτὰ θείῳ Lc, f. mel — καὶ ἰδοὺ ...] ἐν δὲ τῇ μέσῃ ὁδῷ τοῦ ὄρους Lc.
506. ἐκεῖ ἐστιν ...] ἐκεῖ γάρ ἐστιν ἡ ὁμόζυγος αὕτη ἐν ᾗ ... A ; ἔστιν ἡ ὁμόζυγος αὐτοῦ σὺν ᾗ ἐν. καὶ μεθ' ἧς ... Lc.
507. καὶ χαίρεται ... M ; καὶ χαίρει · ἡ φ. γὰρ ἐν φ. ἀναπαύεται, καὶ ἐκτὸς αὐτῆς οὐχ ἑν. Lc.
508. κάτελθε] καὶ κάτ. A ; εἶτα κάτ. Lc.
509. μετὰ σεαυτοῦ Lc. — καὶ ἐκ τῆς π. Lc. — τοῦ λεγομένου νίτρου A.
510. αὐτὰ ... αὐτὰ] αὐτὸ ... αὐτὸ M. — ἐξάγεις A ; ἐξάγαγε Lc. — εἰς τὸ π. κ. Lc.
511. αὐτοῦ om. M. — ἰδοὺ γὰρ ἡ φύσις, φησὶν, τῇ φ. ἀ. Lc.
512. βλέπετε τοίνυν Lc. — σύνετε] δυνατοῖ A ; δυνατοὶ Lc.
513. συνίετε mss.

ζουσι τὰς γέας, καὶ[514] ἀναφύει (f. 77 r.) τὰ σπέρματα καὶ τὰ ἄνθη. Ὁμοίως καὶ τὸ ἡμέτερον[515] νέφος ἐξερχόμενον ἐκ τοῦ ἡμετέρου στοιχείου βαστάζον τὰ θεῖα ὕδατα,[516] καὶ ποτίζον τὰς βοτάνας καὶ τὰ στοιχεῖα, καὶ οὐδενὸς χρῄζει ἐκ τῶν ἄλλων γεῶν.

13. Ἰδοὺ τὸ παράδοξον μυστήριον, ἀδελφοί, τὸ ἄγνωστον ὅλως, ἰδοὺ ἡ ἀλήθεια ὑμῖν πεφανέρωται. Βλέπετε πῶς ποτίζετε τὰς γέας ὑμῶν καὶ πῶς τιθηνεῖσθε τὰ σπέρματα ὑμῶν, ὅπως καρποφορήσετε ὥριμον[517] καρπόν. Ἄκουσον τοίνυν καὶ σύνες καὶ ἀνάκρινον ἀκριβῶς ἐν οἷς λέγω.[518] Λάβε ἐκ τῶν τεσσάρων στοιχείων ἀρσένικον[519] ἀνώτατον καὶ κατώτατον,[520] ἄσπρον τε καὶ ῥούσιον, ἰσόσταθμα ἄρσεν καὶ θῆλυ, ὅπως συζευχθῶσιν[521] ἀλλήλοις. Ὥσπερ γὰρ ἡ ὄρνις ἐν θερμότητι θάλπει καὶ τελειοῖ τὰ ὠὰ αὐτῆς, οὕτως καὶ ὑμεῖς θάλψατε καὶ λειώσατε καὶ ἐξενέγκαντες καὶ[522] ποτίζοντες ἐν τοῖς θείοις ὕδασιν ἐν ἡλίῳ καὶ ἐν τόποις ἐγκαύστοις, καὶ ὀπτήσατε ἐν πυρὶ μαλακῷ μετὰ τοῦ παρθενικοῦ γάλακτος καὶ προσέχετε ἐκ τοῦ καπνοῦ · ἐν γὰρ τῷ

514. ποτίζει M ; ἃ (sur καὶ gratté) ποτίζει Lc.
515. ὅμως M.
516. βαστάζει Lc.
517. καὶ πῶς τιθ. τὰ σπ. ὑμῶν om. A Lc.
518. Réd. de Lc : ἀκούσατε τ. καὶ σύνετε καὶ ἀνακρίνατε ἀκρ. ἃ λέγω. Λάβετε ...
519. λάβε ἐκ τῶν τεσσάρων στοιχείων ... jusqu'à δημοσιεῦσαι (p. suiv. l. 4). Passage cité sous le nom de Stephanus, dans le morceau 3, 2, 1 (ci-dessus, p. 114, note sur la ligne 6). (Variantes de A, f. 8 r. = A^2.)
520. ἀρσένικον — ῥούσιον] Tous ces mots au génitif dans A A^2 Lc.
521. ὅπως] ἅπερ A ; ὅπερ A^2.
522. λείωσατε] τελειώσατε A A^2. — τελειώσατε τὸ ἔργον ὑμῶν Lc.

Ἄιδῃ κατάκλεισον αὐτὰ καὶ πάλιν ἐξαγαγόντες, ποτίσατε αὐτὰ κρόκον κιλίκιον ἐν ἡλίῳ καὶ ἐν τόποις ἐγκαύστοις καὶ ὀπτήσατε ἐν πυρὶ μαλακῷ μετὰ γάλακτος [523] παρθενικοῦ ἐκ τοῦ καπνοῦ, καὶ ἐν τῷ Ἄιδῃ κλείσατε αὐτὰ, καὶ ἐν [524] ἀσφαλείᾳ κινήσατε αὐτὰ μέχρις ἂν γένηται ἡ κατασκευὴ αὐτῶν [525] στερεωτέρα καὶ οὐκ ἀποδιδράσκουσα ἐκ τοῦ πυρός. Καὶ τότε λαβὼν [526] ἐξ αὐτοῦ καὶ ὅτ' ἂν ἑνωθῇ ἡ ψυχὴ, καὶ τὸ πνεῦμα, καὶ γένωνται [527] ἓν, τότε ἐπίρριψον ἐπὶ σῶμα ἀργύρου, καὶ ἔξεις χρυσὸν ὃν οὐκ [528] ἔχουσιν αἱ τῶν βασιλέων ἀποθῆκαι.

14. Ἰδοὺ τὸ μυστήριον τῶν φιλοσόφων, καὶ περὶ αὐτοῦ ἐξώρκισαν ὑμῖν οἱ πατέρες ἡμῶν τοῦ μὴ ἀποκαλύψαι αὐτὸ καὶ δημοσιεῦσαι, θεῖον [529] ἔχον τὸ εἶδος, θείαν καὶ τὴν ἐνέργειαν · θεῖον γάρ ἐστιν, ὅτι ἑνούμενον [530] τῇ θεότητι, θείας ἀποτελεῖ τὰς οὐσίας, ἐν ᾧ τὸ πνεῦμα σωματοῦται, καὶ τὰ θνητὰ (f. 77 v.) ἐμψυχοῦνται, καὶ δεχόμενα τὸ πνεῦμα τὸ [531] ἐξελθὸν ἐξ αὐτῶν κρατοῦνται καὶ κρατοῦσιν ἄλληλα. Ὥσπερ γὰρ τὸ πνεῦμα τὸ σκοτεινὸν τὸ πλῆρες ματαιότητος

523. μετὰ] μετακείμενον M (κείμενον ajouté peut-être par le copiste comme annonçant une variante.)
524. κιν. αὐτὸ Lc.
525. αὐτοῦ Lc.
526. καὶ οὐκ — πυρός om. A Lc ; hab. A^2 — ἀπὸ τοῦ πυρος A^2. — λάβε A A^2 ; λάβετε Lc.
527. τὸ σῶμα καὶ τὸ πνεῦμα. Lc. — γίνωνται M.
528. ἀργύρου] S. de la lune et de l'argent avec la finale ης MA A^2 ; σελήνης Ideler. — χρυσὸν] S. de l'or et du soleil MA A^2 ; ἥλιον Ideler.
529. θεῖον γὰρ Lc.
530. θείαν ἔχει Lc.
531. δεχόμενον Ideler.

καὶ ἀθυμίας τὸ κρατοῦν τὰ[532] σώματα τοῦ μὴ λευκανθῆναι καὶ δέξασθαι τὸ κάλλος καὶ τὴν χροιὰν ἣν ἐνεδύσαντο ἐκ τοῦ δημιουργοῦ (ἀσθενεῖ γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα καὶ ἡ ψυχὴ διὰ τὸ σκότος τὸ ἐκτεταμένον).[533]

15. Ἐπ' ἂν δὲ αὐτὸ τὸ πνεῦμα τὸ σκοτεινὸν καὶ βρωμοῦν ἀποβληθείη,[534] ὥστε μὴ φανῆναι ὀσμὴν, μήτε τὴν χροιὰν τοῦ σκότους, τότε φωτίζεται[535] τὸ σῶμα, καὶ χαίρεται ἡ ψυχὴ καὶ τὸ πνεῦμα ὅτε ἀπέδρα τὸ[536] σκότος ἀπὸ τοῦ σώματος · καὶ καλεῖ ἡ ψυχὴ τὸ σῶμα τὸ πεφωτισμένον. Ἔγειραι ἐξ Ἅιδου καὶ ἀνάστηθι ἐκ τοῦ τάφου, καὶ ἐξεγέρθητι ἐκ τοῦ σκότους · ἐνδέδυσαι γὰρ πνευμάτωσιν καὶ θείωσιν, ἐπειδὴ ἔφθακεν καὶ ἡ[537] φωνὴ τῆς ἀναστάσεως, καὶ τὸ φάρμακον τῆς ζωῆς εἰσῆλθεν πρὸς σέ · τὸ γὰρ πνεῦμα πάλιν εὐφραίνεται ἐν τῷ σώματι καὶ ἡ ψυχὴ ἐν ᾧ ἐστιν,[538] καὶ τρέχει κατεπεῖγον ἐν χαρᾷ εἰς τὸν ἀσπασμὸν αὐτοῦ, καὶ ἀσπάζεται[539] αὐτὸ καὶ οὐ κατακυριεύει αὐτοῦ σκότος,

532. σκοτεινοῦν καὶ βρομοῦν πληροῖ Lc.
533. ἐντεταγμένον Lc.
534. οὕτω, ἐπὰν αὐτὸ τὸ πν. τὸ σκοτεινοῦν Lc.
535. σκ. ἔχων A ; σκ. ἔχειν Lc.
536. χαίρει A Lc, ici et p. suiv., l. 1.
537. πνευματώσεως καὶ θειώσεως A. — ἔφθ. καὶ ἡ φ.] πέφηκεν καὶ φωνῆ A ; πέφυκε καὶ φωνὴ Lc.
538. Dans le ms. M (seul) figurent des signes inscrits en rouge au-dessus de certains mots. Nous les indiquons. Signe du cinabre sur πνεῦμα. — τὸ γὰρ πν. χαλκὸν (en signe) A ; τὸ γ. πν. τοῦ χαλκοῦ Lc. — S. de μόλυβδος sur σώματι — S. de l'argent sur ψυχὴ. — S. de l'or sur ἐν ᾧ. — S. du mercure après ψ., puis ὅς ἐστι καὶ s. de l'or A. — Réd. de Lc : ἡ ψυχὴ δὲ, ἡ ὑδράργυρός ἐστι, καὶ εἰς τὸν χρυσὸν τρ., κατεπείγουσα εἰς τ. ἀ. α.
539. ἐν χαρᾷ om. A.

ἐπειδὴ ὑπέστη φωτὸς, καὶ οὐκ[540] ἀνέχεται αὐτοῦ χωρισθῆναι ἔτι εἰς τὸν αἰῶνα, καὶ χαίρεται ἐν τῷ οἴκῳ[541] αὐτῆς, ὅτι καλύπτουσα αὐτὸ ἐν σκό- (f. 78 r.) τει, εὗρεν αὐτὸ πεπλησμένον[542] φωτός. Καὶ ἠνώθη αὐτῷ, ἐπειδὴ θεῖον γέγονεν κατ' αὐτὴν, καὶ οἰκεῖ ἐν αὐτῇ · ἐνεδύσατο γὰρ θεότητος φῶς [καὶ ἠνώθησαν],[543] καὶ ἀπέδρα[544] ἀπ' αὐτοῦ τὸ σκότος, καὶ ἠνώθησαν πάντες ἐν ἀγάπῃ, τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα, καὶ γεγόνασιν ἓν ἐν ᾧ κέκρυπται τὸ μυστήριον. Ἐν δὲ τῷ συνεισελθεῖν αὐτὰ, ἐτελειώθη τὸ μυστήριον, καὶ ἐσφραγίσθη ὁ[545] οἶκος, καὶ ἐστάθη ἀνδριὰς πλήρης φωτὸς καὶ θεότητος · τὸ γὰρ πῦρ[546] αὐτοὺς ἥνωσεν καὶ μετέβαλεν καὶ ἐκ τοῦ κόλπου τῆς γαστρὸς αὐτοῦ[547] ἐξῆλθεν.

16. Ὅμως καὶ ἐκ τῆς γαστρὸς τῶν ὑδάτων, καὶ ἐκ τοῦ ἀέρος τοῦ[548] διακονοῦντος αὐτοῖς, καὶ αὐτὸ ἐξήνεγκεν αὐτοὺς ἐκ τοῦ σκότους εἰς φῶς,[549] καὶ ἐκ πένθους εἰς φαιδρότητα, καὶ ἐξ ἀσθενείας εἰς ὑγείαν, καὶ ἐκ θανάτου εἰς ζωήν · καὶ ἐνέδυσεν αὐτοὺς θείαν δόξαν πνευματικὴν, ἣν οὐκ[550] ἐνε-

540. S. de θεῖον ἄθικτον sur φωτὸς.
541. ἔτι] ποτε Lc.
542. τοῦτο πεπληρωμένον A Lc.
543. τὸ θειότατον φῶς A.
544. καὶ ἡν. om. A Lc.
545. συνελθεῖν A. — αὐτῶ A ; αὐτοὺς Lc.
546. οἶκος καὶ ἐπληρώθη A. — ἀνδρίαντας πλήροις φ. A ; ὁ ἀνδριὰς Lc. — θειότητος Lc. — S. de θεῖον ἄθ. sur πῦρ.
547. ἥνωσεν] ἴωσεν A. — καὶ μετέβαλε αὐτοὺς Lc. — S. de ἰόχαλκος sur γαστρὸς. — ὅθεν αὐτοὶ ἐξῆλθον Lc.
548. F. l. ὁμοίως. — Double s. du mercure sur ὑδάτων — καὶ ἐκ τοῦ ἀέρος om. A.
549. αὐτὸ] αὐτὸς A Lc.
550. καὶ πν. Lc.

δύσκοντο τὸ πρὶν, ὅτι ἐν αὐτοῖς κέκρυπται ὅλον τὸ μυστήριον, καὶ[551] θεῖον ἀναλλοίωτον ὑπάρχει · διὰ γὰρ τῆς ἀνδρείας αὐτῶν συνεισέρχονται[552] ἀλλήλοις τὰ σώματα, ἐξερχόμενα ἐκ τῆς γῆς ἐνδύονται φῶς καὶ[553] δόξαν θεῖαν, ἐπειδὴ ηὐξήθησαν κατὰ φύσιν καὶ ἡλλοιώθησαν τοῖς σχήμασι καὶ ἐξ ὕπνου ἀνέστησαν, καὶ ἐκ τοῦ Ἅιδου ἐξῆλθον. Ἡ γαστὴρ γὰρ[554] ἡ τοῦ πυρὸς ἔτεκεν αὐτοὺς, καὶ ἐξ αὐτῆς ἐνεδύσαντο δόξαν[555] · (f. 78 v.) καὶ αὕτη ἤνεγκεν εἰς ἑνότητα μίαν, καὶ ἐτελειώθη ἡ εἰκὼν σώματι καὶ[556] ψυχῇ καὶ πνεύματι, καὶ ἐγένοντο ἕν. Ὑπετάγη γὰρ τὸ πῦρ τῷ ὕδατι,[557] καὶ ὁ χοῦς τῷ ἀέρι. Ὁμοίως καὶ ὁ ἀὴρ μετὰ τοῦ πυρὸς, καὶ ὁ χοῦς μετὰ[558] τοῦ ὕδατος, καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ μετὰ τοῦ χοὸς, καὶ τὸ ὕδωρ μετὰ[559] τοῦ ἀέρος, καὶ ἐγένοντο ἕν. Ἐκ γὰρ βοτανῶν καὶ αἰθαλῶν γέγονε τὸ ἓν,[560] καὶ ἐκ φύσεως καὶ ἀπὸ θείου θεῖον γέγονεν, ἐνθηρεῦον πᾶσαν φύσιν καὶ[561] κρατοῦν. Ἰδοὺ ἐκράτησαν αἱ φύσεις τὰς φύσεις καὶ ἐνίκησαν, καὶ διὰ[562] τοῦτο ἀλλοιοῦσι τὰς φύσεις καὶ τὰ σώματα, καὶ

551. ἐνεδιδύσκοντο M ; ἐνδύθησαν A ; ἐνεδύθησαν πρότερον Lc.
552. συνερχ. Lc.
553. καὶ ἐξερχ. Lc.
554. Réd. de Lc : ἐξ ἅ. ἐξ. καὶ ἐκ τῆς γαστρὸς τοῦ πυρὸς, καὶ ἐξ αὐτῆς ἐνέδ. δόξαν, κ. α. ἦν. αὐτοὺς.
555. S. de θεῖον ἄθ. sur πυρὸς.
556. ἡ εἰκὼν] ὁ οἶκος τῷ σώμ. καὶ τῇ ψ. καὶ τῷ πν. Lc.
557. S. de θεῖον ἄθ. sur πῦρ. — S. du mercure sur ὕδατι et sur ἀέρι.
558. ὅμως M. — S. de l'Écrevisse sur χοῦς.
559. S. du mercure sur ὕδατος et sur le second ὕδωρ. — S. du cinabre sur πῦρ. — S. de l'Écrevisse sur χοὸς.
560. S. du cinabre sur ἀέρος et sur αἰθαλῶν. — ἀέρος χοὸς Lc.
561. φύσεων M. — γεγόνασιν M.
562. καὶ ἴδου Lc.

πάντα ἐκ τῆς φύσεως[563] αὐτῶν, ἐπειδὴ εἰσῆλθεν ὁ φεύγων εἰς τὸν μὴ φεύγοντα, καὶ ὁ κρατῶν εἰς[564] τὸν μὴ κρατοῦντα, καὶ ἀλλήλοις ἡνώθησαν.

17. Τοῦτο τὸ μυστήριον [ὃ] ἐμάθομεν, ἀδελφοί, ἐκ θεοῦ καὶ ἐκ τοῦ[565] πατρὸς ἡμῶν Κομαρίου τοῦ ἀρχαίου. Ἰδοὺ εἶπον ὑμῖν, ἀδελφοί, πᾶσαν[566] τὴν ἀλήθειαν κεκρυμμένην παρὰ πολλῶν σοφῶν καὶ προφητῶν.[567]

Φασὶν δὲ πρὸς αὐτὴν οἱ φιλόσοφοι · ἐξέστησας ἡμᾶς, ὦ Κλεοπάτρα, εἰς ὃ λελάληκας ἡμῖν · μακαρία γὰρ ὑπάρχει ἥ σε βαστάσασα κοιλία.[568]

Καὶ πάλιν πρὸς αὐτοὺς ἔφη Κλεοπάτρα · « Σώματα οὐράνια καὶ θεῖα[569] μυστήρια ὑπάρχουσι τὰ ὑπ' ἐμοῦ ὑμῖν ῥηθέντα · ὑπὸ γὰρ τῆς διαστροφῆς[570] καὶ ἀλλοιώσεως αὐτῶν μεταβάλλουσι τὰς φύσεις, καὶ ἐνδύουσιν[571] αὐτῆς δόξαν ἄγνω- (f. 79 r.) στον καὶ ἐπῃρμένην, ἣν πρότερον οὐκ εἶχον.

Καί φησιν ὁ σοφός · Εἰπὲ ἡμῖν, ὦ Κλεοπάτρα, καὶ τοῦτο · διὰ τί γέγραπται · μυστήριον τῆς λαίλαπος σῶμά ἐστιν ἡ

563. τὰ ἐκ τ. φ. Lc.
564. S. du merc. sur φεύγων. — εἰς τὸ μὴ φεῦγον ... εἰς τὸ μὴ κρατοῦν Lc. — S. de l'or sur φεύγοντα. — S. de θεῖον ἄθ. sur κρατῶν.
565. τοῦτο γὰρ τὸ μυστ. A.
566. κομερίου M ; κομαρίου (Κωμαρίου Lc) τοῦ φιλοσόφου καὶ ἀρχιερέως A Lc. — ὑμῖν, κα πιστεύσατε, ἀδ., τὴν κ. π. ἀλ. A Lc.
567. καὶ συνετῶν προφητῶν Lc.
568. φασὶν] εἶπον Lc.
569. εἰς ἃ λελ. Lc. — ἡμᾶς M. — καὶ μακ. γὰρ Lc.
570. A mg. : η s. du merc. surmonté de μ.
571. τὰ ὑπ' ἐμοῦ λαληθέντα A.

τέχνη καὶ τροχοῦ[572] δίκην ἄνωθεν αὐτῆς, ὥσπερ τὸ μυστήριον, καὶ ὁ δρόμος καὶ ὁ πόλος[573] ἄνωθεν, καὶ οἰκήματα καὶ πύργοι καὶ παρεμβολαὶ ἐνδοξόταται ;

Καί φησι Κλεοπάτρα · Καλῶς τεθείκασιν αὐτὴν οἱ φιλόσοφοι, ὡς[574] ἐτέθη ἐκ τοῦ δημιουργοῦ καὶ δεσπότου τῶν ἁπάντων. Καὶ ἰδοὺ λέγω[575] ὑμῖν ὅτι ὁ πόλος ἐκ τῶν τεσσάρων δραμεῖται, καὶ οὐ μὴ παύσηται.[576] Ταῦτα ἐτάχθησαν ἐν τῇ γῇ ἡμῶν ταύτῃ τῇ αἰθιοπίδι, ἐξ ἧς λαμβάνονται βοτάναι καὶ λίθοι καὶ σώματα θεῖα, ἅτινα ἔθηκεν ὁ θεὸς, καὶ οὐκ ἄνθρωπος · ἐν ἑκάστῳ δὲ ἐνέσπειρεν ὁ δημιουργὸς τὴν δύναμιν · τὸ[577] ἓν χλωραίνει, καὶ ἄλλο οὐ χλωραίνει, ἓν ξηρὸν, ἓν ὑγρὸν, ἓν καθεκτικὸν,[578] καὶ ἓν κριτικὸν, ἓν κρατοῦν, καὶ ἓν ἀναχωροῦν · καὶ ἐν τῷ ἁπαντῆσαι[579] ἀλλήλοις κρατοῦσιν ἄλληλα, καὶ ἐν τῷ ἄλλῳ σώματι, χαίρει καὶ ἓν τῷ ἑτέρῳ καταγλαΐζει. Καὶ γίνεται μία φύσις ἡ πάσας τὰς φύσεις[580] θηρεύουσα καὶ κρατοῦσα, καὶ αὐτὸ τὸ ἓν νικᾷ πᾶσαν φύσιν τὴν τοῦ πυρὸς καὶ τοῦ χοὸς, καὶ ἀλλοιοῖ πᾶσαν τὴν δύναμιν αὐτοῦ. Καὶ ἰδοὺ[581] λέγω ὑμῖν τὸ πέρας αὐτοῦ,

572. εἶτά φησιν Lc. — ὁ φιλόσοφος A Lc.
573. σώματα M ; σῶμα γὰρ Lc. — ὥσπερ γὰρ A.
574. Réd. de Lc : καὶ οἱ πύργοι καὶ αἱ παρ. ἄνωθεν αὐτῆς εἰσιν ἐνδοξ.
575. φησὶ δὲ ἡ Κλ. A ; om. Lc.
576. Réd. de Lc : ὁ πόλος ἡμῶν ἐ. τ. τ. μὲν τρέχει, οὐδέποτε δὲ ἐκπίπτει. Ταῦτα ἐτάχθησαν ... — οὐ μὴ πέσηται A. — ἐτέχθησαν M.
577. ἐν ἑκάστοις Lc.
578. Signe du mercure sur ἓν. Signe Mλ sur οὐ χλωραίνει.
579. ἐκκριτικὸν Lc. — κρατούμενον Lc. — ἁπανθῆσαι ἄλληλα, κρατ. ἀλλήλοις Lc. — καὶ ἓν ἐν τῷ ἄλλω σωματοῖ M.
580. ἐν M. — καταγλαίζεται Lc. — γίνονται M.
581. αὐτῶν M.

ὅταν τελειοῦται, γίνεται φάρμακον φονευτὸν[582] ἐν τῷ σώματι τρέχον. (f. 79 v.) Ὥσπερ γὰρ εἰσέρχεται ἐν τῷ ἰδίῳ σώματι[583] καὶ διέρχεται εἰς τὰ σώματα · ἐν σήψει γὰρ καὶ θέρμῃ γίνεται φάρμακον τρέχον εἰς πᾶν σῶμα ἀκωλύτως.[584]

✶
✶✶

1.1.21 4. — 21. ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΤΕΧΝΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ.

Ce texte est le même que celui d'Ostanès (4, 2, p. 261,) donné sans nom d'auteur dans le ms. A, f. 79 v.

✶
✶✶

1.1.22 4. — 22. Chimie de Moïse.

Transcrit sur A, f. 268 v. — *Toutes les variantes insérées dans le texte sont des corrections conjecturales.*

1. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν · « Ἐγὼ ἐξελεξάμην ἐξ ὀνόματος Βεσελεὴλ τὸν ἱερέα, ἐκ φυλῆς Ἰούδα, καὶ ἐργά-

582. ὅταν δὲ ἀλλοιοῦται Lc. — φονευτικὸν Lc.
583. διὰ τοῦ σώματος Lc. — εἰσερχ. τῶ ἰδίω χρώματι M. — ὅπερ εἰσέρχ. εἰς τὸ ἴδιον σῶμα Lc.
584. Après ἀκωλύτως] A Lc aj. : ἐνταῦθα γὰρ (Lc : καὶ ἐνταῦθα), ἡ τῆς φιλοσοφίας τέχνη πεπλήρωται. Puis, dans Lc : τέλος.

ζεσθαι τὸν χρυσὸν, καὶ [585] τὸν ἄργυρον, καὶ τὸν χαλκὸν, καὶ τὸν σίδηρον, καὶ πάντα τὰ λιθουργικὰ, καὶ τὰ λεπτουργικὰ ξύλα, καὶ εἶναι κύριον πασῶν τῶν τεχνῶν. [586]

2. Λαβὼν ὑδράργυρον, καὶ χάλκανθον, καὶ μυσίδην, ἴσως ὁμοῦ λειώσας ἀνένεγκαι τὴν αἰθάλην αὐτοῦ ἀπὸ ὥρας πρώτης ἕως ὥρας [587] δεκάτης · καὶ ἀποβαλὼν τὴν ὕλην, ἀνένεγκαι τὴν ὑδράργυρον τρὶς, καὶ [588] πότισον αὐτὴν οὔρῳ ἀφθόρου ἡμέρας ζ΄ ἐν ἡλίῳ · καὶ βάλε εἰς ῥωγὴν, [589] πωμώσας ἅλατι, καὶ πηλῷ πυριμάχῳ, καὶ (f. 269 r.) θὲς τὸ ῥωγὴν ἐπὶ κέφαλα ἐν χύτρᾳ ἀθίκτῳ. Καὶ ποιήσας πέταλα μολύβδου, καὶ πώμασον τὴν χύτραν · καὶ πωμάσας πάντοθεν βησάλῳ καὶ πηλῷ [590] πυριμάχῳ, δὸς ἐμπύρῳ κόπρῳ βοῶν νυχθήμερον, καὶ ἔχε ὑδράργυρον παγεῖσαν.

3. ΟΙΚΟΝΟΜΙΑ ΥΔΡΑΡΓΥΡΟΥ. — Λαβὼν ὑδράργυρον, ζέσον ἐλαίῳ ῥεφανίνῳ · εἶτα πῆξον, καὶ συλλείου σὺν ὄξει καὶ στυπτηρίᾳ σχιστῇ, καὶ ἁλὶ ἐπὶ ἡμέρας ζ΄ · καὶ γλυκάνας, ξήρανον καὶ ἔχε.

Καὶ λαβὼν κιννάβαριν, κινναβάρισον ἐλαίῳ ῥεφανίνῳ εἰς ληκύθιον, καὶ ἀσφαλισάμενος, θὲς ἐν χώστρᾳ ὥρας ι΄ · καὶ λαβὼν, πλύνας εἰς θυείαν, καὶ ἐπίβαλε ὄξος, καὶ στυπτηρίαν σχιστὴν καὶ ἅλας, καὶ λείωσον ἐπὶ ἡμέρας ζ΄ · καὶ ἀποπλύνας ὕδατι γλυκεῖ, ξήρανον καὶ ἔχε.

585. καὶ ἐργ.] F. l. ὡς ἐργ.
586. πασῶν] πάντων A.
587. ἀνένεγγε A, ici et plus loin.
588. τρὶς] γ΄ A, ici et plus loin.
589. ῥογὴν A partout ; à lire sans doute ῥογίν (ῥογίον).
590. γόμοσον, puis πώμωσον A.

4. Λαβὼν ὑδράργυρον παγεῖσαν, σανδύκιον, χαλκὸν κεκαυμένον,[591] καὶ στακτάτον (?) ὄξος, ποίει κατασταλακτὴν, καὶ λαβὼν θεῖον καθαρὸν, ἔκζεσον μετὰ τῆς καταστα λακτῆς · καὶ λαβὼν τὸ ὕδωρ τοῦτο, συνλείωσον τὰ κροκὰ τῶν ὠῶν · καὶ ἀνένεγκαι διὰ τοῦ ἀμβίκου · Βρέξας[592] κομιδῆ, σύμμιξον μετὰ τὸ ὕδωρ τοῦτο ἀμβίκου, καὶ πότιζε τὰ ξηρία[593] ἡμέρας ι΄ · καὶ ὅταν ψυγῇ καλῶς, βάλε εἰς πυξίδα ὑελίνην, καὶ[594] πυρώσας κακκάβην, παρόπτα ἐν αὐτῷ τὸ ξηρίον · καὶ βλέπῃς τὸ γινόμενον. Εἶτα λαβὼν τοῦ ξηρίου $\ddot{\beta}$ β΄, ἐπίρριπτε ἐπὶ γ° κασσιτέρου,[595] καὶ ἔξεις ἄργυρον.

5. Λαβὼν οὖρον (f. 269 v.) ἄφθορον πεπηγμένον ὡς λίθον λευκὸν,[596] καὶ ὑδράργυρον παγεῖσαν, τρίβε ὁμοῦ ἕως ἂν καταποθῇ ὑδράργυρος · καὶ λαβὼν ἀφροσέληνον, πότισον ἐν ἡλίῳ ἡμέρας γ΄, καὶ ἔχε ᾠκονομημένην.

6. Λαβὼν ἀφροσέληνον, δῆσον εἰς πανὴν καὶ ἀπόβρεξον εἰς ὄξος ἡμέραν[597] α΄ · καὶ τρίβε ἐν χερσίν · ἔασον καθῆσαι τὴν ὕλην, καὶ σειρώσας,[598] χύσον τὸ ὄξος · καὶ ξηράνας, βρέχε εἰς τὰ λευκὰ τῶν ὠῶν τῶν ἀνεχθέντων διὰ τοῦ ἀμβίκου · καὶ βαλὼν εἰς ῥογὴν, ἔχε ἀφροσέληνον.

591. ζανδύκιον A.
592. ἀνένεγκαι] ἀννεγγε A.
593. κομίδην A. — ἰαμβύκου A, ici et plus loin. — F. l. μετὰ τούτου τὸ ὕδωρ.
594. πηξίδα A. — ὑέλινον A.
595. τοῦ ξηρίου puis, probablement, le signe de κεράτια (A mg. : κε ÷).
596. οὔρος A, presque partout. — F. l. ἀφθόρου.
597. F. l. πανίν (néogrec).
598. F. l. καθίσαι.

7. Λαβὼν ῥινίσματα χαλκοῦ πυρροῦ καὶ λευκοῦ, καὶ σιδήρου, καὶ[599] κασσιτέρου, ἀρσενίκου, καὶ σανδαρακίου, καὶ ὑδράργυρον παγεῖσαν, καὶ ἅλας καππαδοκικὸν ἐξ ἴσου, αἷμα τράγου ἢ χοίρου, καὶ βαλὼν ἐν χύτρᾳ ἀθίκτῳ, πώμασον καλῶς, καὶ βάλε ἐν πυροκόπρῳ βοῶν, καὶ ἀνάψας παρόπτα νυχθήμερον, καὶ ἔχε ξηρίον ἀργύρου.

8. ΕΞΙΩΣΙΣ ΧΑΛΚΟΥ. — Λαβὼν στυπτηρίαν σχιστὴν καὶ σάπωνον,[600] καὶ ὄξος, πύρωσον τὸν χαλκὸν, καὶ κατάβαπτε.

9. Λαβὼν ὑδράργυρον παγεῖσαν, λείωσον σὺν ἅλατος ἀμμωνιακοῦ,[601] καὶ χαλκὸν κεκαυμένον, καὶ χάλκανθον ἐξ ἴσου · βάλε εἰς ῥογὴν, καὶ πωμώσας καλῶς, καῦσον ἐν ὑγρῷ κόπρου ἱππείας, ἕως οὗ γένηται[602] οἶνος ἀμιναῖος.

10. ΟΙΚΟΝΟΜΙΑ ΜΟΛΥΒΔΟΧΑΛΚΟΥ. — Λαβὼν μυσίδην, φρύξον ἐλαίῳ[603] ῥεφανίνῳ · καὶ οὕτως χρῶ · φρύγε δὲ ὥρας γ΄.

11. Ἡ στυπτηρία σχιστὴ οἰκονομεῖται · πυροῦται καὶ σβέννυται ὄξει · εἶτα λειοῦται · πυρροκαταβάπτεται διστάκις (?).[604]

12. ΟΙΚΟΝΟΜΙΑ ΠΥΡΙΤΟΥ. — Ἐκζέσας αὐτὸν ἐν θαλασσίῳ ὕδατι τριβέντα ἡμέραν α΄ · καὶ ξηράνας, οὕτως

599. πυροῦ A.
600. στυπτηρίαν σχιστὴν] Cp. ci-après, p. 310, l. 19, note. — F. l. σάπωνα (ou σαπώνιον).
601. σὺν pour μετὰ (confusion fréquente dans ce morceau).
602. κόπρω A.
603. μολυβδοχάλκου en signe A. — μυσίδην pour μυσίδιν (néogrec).
604. διστάκις] F. l. ἑπτάκις.

χρῶ.

13. ΟΙΚΟΝΟΜΙΑ ΧΑΛΚΙΤΕΩΣ. — Κόψας αὐτὴν, ἀνάλαβε μετὰ μέλιτι,[605] ὡς ἐμπλαστρῶδες, καὶ βαλὼν εἰς λιτρίδιον, πώμασον κατακλείων[606] ὅλον τὸ χυτρίδιον · καὶ πώμα πηλὸν ἐπιτή- (f. 270 r.) δειον · καὶ ὄπτα[607] ξύλων ἐπάνωθεν ἐπιβαλὼν ἄνθρακας, ὄπτα δὲ ἐπὶ ὥραν καλήν. Ἔπειτα[608] ἄρας, ξήρανον · καὶ πάλιν λειώσας τῇ αὐτῇ ἀγωγῇ εἰς θυείαν ἀνάτριψον, καὶ ποίησον μέλιτος πάχος. Τοῦτο ποίει τρὶς, καὶ οὕτως χρῶ.

14. ΟΙΚΟΝΟΜΙΑ ΠΥΡΙΤΟΥ. — Ἐκζέσας αὐτὸν ἐν θαλασσίῳ ὕδατι τριβέντα ἡμέραν α′, καὶ ξηράνας οὕτως οἰκονόμησαι εἰς πτάρησιν ὑδραργύρου καὶ εἰς ὃν ἐὰν θέλῃς λευκῶσαι · θεῖον ἄπυρον λειώσας εἰς οὖρον παιδὸς σὺν ἅλμῃ, θαλασσίῳ ὕδατι, καὶ στυπτηρίᾳ σχιστῇ, ζέσον ἑπτάκις, καὶ ἔασον, καὶ εὑρήσεις τὴν ὑδράργυρον ὡς ψιμμίθιον πεπηγυῖαν · καὶ λοιπὸν ἐκ τούτου συνμίσγεις ὅταν θέλῃς, εἰς ὃ βούλει ἐπὶ τρίς · ξηράνας, ἔχε.[609]

15. ΕΞΙΩΣΙΣ ΧΑΛΚΟΥ. — Λίθον τὸν χρυσίζοντα, καὶ γῆν σαμίαν, καὶ ἅλας ἄνθιον, καὶ ὀπὸν συκῆς, ποιήσας γλοιοῦ πάχος, χρίε τὰ πέταλα,[610] καὶ ἐκσωματίζονται.[611]

605. μετὰ pour σὺν.
606. λιτρίδιον] F. l. χυτρίδιον.
607. F. l. πώμασον πηλῷ ἐπιτηδείῳ.
608. F. l. ξύλῳ.
609. ἐπὶ τρὶς] ἐπὶ τρίτον A.
610. γλύου A, ici et partout.
611. ἐξοματίζονται A. — Après ce mot vient, dans notre ms., le texte ὕδωρ θαλασσίῳ — τὸ ὄξος τῶν ἀρχαίων (déjà publié 1, 3, 8, 9, 10), avec

16. ΥΔΩΡ ΑΝΑΣΠΑΣΤΟΝ. — Λαβὼν ὠά, κλάσον ὅσα βούλει, καὶ ἕνωσον δύο τὰ λευκὰ καὶ δύο τὰ ξανθά · καὶ ἀναταράξας, (f. 270 v.) ἀνάσπα διὰ τοῦ ὀργάνου · καὶ τοῦ μὲν πρώτου ἔστι τὸ μὲν λευκὸν[612] λέγουσιν ὕδωρ μικρὸν ὄμβριον, τὸ δὲ δεύτερον εἴ τις ἔλαιον ῥεφανίνῳ,[613] τὸ δὲ τρίτον εἴ τις μελάγχλωρον κίκινον λέγουσιν.

17. ΥΔΑΤΟΣ ΚΑΤΑΣΠΑΣΤΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν λευκὰ ὠῶν, βάλε εἰς τὴν λίτραν τῶν λευκῶν, ἀσβέστου τῆς ἡμῶν γ° α′, καὶ ἀναταράξας, χάλασον ὅλα τὰ ὠὰ ὅσα βούλει, καὶ ἔα ἕως ῥεύσηται κάτω ἡμέρας ζ′,[614] ἀλλὰ δὲ τῇ ἑβδόμῃ ἄρας ἀπὸ μαζῶν καθαρώκην (?), καὶ σύνθες ἐν ὀργάνῳ[615] εἰς ἀπόσταξιν τέχνης, τῷ μὲν ὄξει ἀνὰ μέρος τῶν ὠῶν · καταφίμωσον ἀσφαλῶς, ἔψον, χῶσον εἰς κόπρον ἱππείαν · καταφίμωσον ἕως ἀποστάξωσιν. Τοῦτό ἐστιν « ὕδωρ μελάντερον ἄχραντον.[616] »

18. ΘΕΙΟΝ ΑΠΥΡΟΝ ΛΕΥΚΟΝ. — Λαβὼν τῶν ἀπομεινάντων ὠῶν τῶν ἀποσταξάντων μέρος α′, λύε ἅμα ἐν ᾧ

---

des additions et variantes dont voici les principales. P. 19, l. 9 : après σποδοκράμβης] ὄξος ἀργαλὸν, κυνὸς ὕδωρ, αἰγὸς ὕδωρ (νόει · ἀντὶ γαλ. ὑδ. λέγουσιν). — L. 10 : τὸ δὲ ξ. ὕ. λέγ. om. — L. 13 : φασὶν. — διασαπέντα ...] διασαπὲν λέγουσι χρυσοζ. καὶ ἀργ., τὸ ὄξος τῶν κυρίων. — L. 15 : ἀρσενικοῦ, καὶ ἔσωθεν ἔχει τὸ ὀξῶδες. — L. 17 : θείου ἀπ. ὕδ.] θεῖον ὕδωρ.

612. ἔστι puis εἴ τις]. Lire peut-être εἶναι dont le signe aura été confondu avec celui de ἐστι, changé depuis (l. 4, 5) en εἴ τι ou εἴ τις.

613. ὄβριον A.

614. χάλασον] F. l. κλάσον.

615. F. l. καθαρώτατον (*M. B.*).

616. Cp. 3, 12, 4 ; 19, 3 ; 4, 7, 2.

τῷ ἀποσταλαχθέντι ὕδατι, καὶ[617] βαλὼν εἰς βίκον, φίμωσον ἀσφαλῶς, καὶ ἔα ἡμέρας ζ΄ · καὶ καθ' ἑκάστην τάραξον τὸν βίκον · τῇ δὲ ἑβδόμῃ ἀποσειρώσας τὸ πᾶν εἶδος καθαρὸν,[618] ἔχε · αὐτὸ ξηρὸν ὅπτα μαλθακῷ πυρὶ ὥρας ΣΤ΄ ἢ καὶ πλέον, ἕως ἀναξηρανθῇ. Εἶτα λειώσας πίτυρον ἐκ τοῦ ἀποσειρωθέντος εἴδους ἥμισυ[619] ὥραν α΄. Τοῦτο βαλὼν εἰς χύτραν ἣν οἶδας, ἀνάσπα διὰ τοῦ ὀργάνου, καὶ πάλιν λειώσας σὺν τῷ ὕδατι, ἀνάσπα. Τοῦτο ποίει τρὶς καὶ ἔχε.[620]

19. ΘΕΙΟΥ ΑΠΟ ΛΕΥΚΟΥ ΤΟΥ ΘΕΙΟΥ ΞΑΝΘΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν τοῦ προγεγραμμένου θείου ἀπὸ λευκοῦ, τουτέστιν τοῦ ξηρανθέντος, ὑγροῦ, καὶ γενομένου (f. 271 r.) ξηρίου, καὶ λύε ἀμφότερα [μετὰ] σὺν[621] τῷ περιττεύσαντι εἴδει ἐκ τοῦ προλεχθέντος θείου ἀπύρου. Λευκὸν ἐπίβαλε[622] ἐν τῷ ὀργάνῳ, καὶ ἀνάσπα · καὶ πάλιν συνλύε ἐν τῷ ἰδίῳ εἴδει,[623] καὶ ἀνάσπα. Τοῦτον ἄρον ὅταν παγῇ, καὶ ἔχε χρυσὸν κάλλιστον.[624]

20. ΞΑΝΘΩΣΙΣ ΥΔΡΑΡΓΥΡΟΥ. — < Λαβὼν > στυπτηρίαν ἕως στραφῇ ὡς οἶδας, καὶ ἐπίβαλε ἀργύρῳ · τοῦτο κρύπτε.[625]

21. ΟΙΚΟΝΟΜΙΑ ΑΡΣΕΝΙΚΟΥ. — Τρίψον νεφέλην ·

617. λύε] Voir l. 23, note.
618. ἀποσυρώσας ici et partout.
619. πήτιρον A. — F. l. ἡμίσειαν.
620. τρὶς] γον A.
621. λύε] F. l. λείου (*M. B.*).
622. εἴδους A.
623. συνλύε] F. l. συλλείου (*M. B.*).
624. F. l. ἔχεις.
625. ἀργύρῳ] F. l. ὑδραργύρῳ (*M. B.*).

αὐτὴν ἐπίβαλε ὀξάλμῃ, καὶ λειοτριβήσας ὥραν καθ' ἡμέραν ἐπὶ ἡμέρας ιβ′, εἶτα πλύνον ὕδατι γλυκέῳ, ἕως μηκέτι ἔχῃ ὀσμὴν τοῦ ὄξους, καὶ ξήρανον. Τοῦτο ποίει ἐπὶ τρὶς, ὥστε ταρῶδες ἀποβαλεῖν, καὶ οὕτως χρῶ. [626]

22. ΠΥΡΡΟΧΑΛΚΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν χαλκὸν κύπριον θερμέλατον, [627] πυρὸν ἔλαττον ποιήσας πέταλα, ὑπόστρωσον ἐπάνω καὶ κάτω καθμίαν [628] λευκὴν τριπτὴν ἐπιμελῶς τὴν γενομένην ἐν Δελματίᾳ, ἣν χρῶνται οἱ χαλκουργοὶ, καὶ πηλώσας χώνευσον ἐπιμελῶς, ἵνα μὴ διαπνεύσῃ, ἡμέραν α′ · ἀνοίξας δὲ, εἰ καλῶς ἔχει, χρῆσαι, εἰ δὲ μὴ, ἐκ δευτέρου ἕψει μετὰ καθμίας ὡς ἐπάνω · ἐὰν δὲ κάλλιον ἐξέθῃ ἀπὸ κύπρου θερμελάτου μίγνυται τῷ χρυσίῳ χαλκῷ, κυπρίου τοῦ αἱματώδους [629] γ° δ′, κασσιτέρου ἀποβολῆς γ° ΣΤ′. Μαγνησίαν ἐπίβαλε τῷ κασσιτέρῳ γ° β′, καὶ χώνευσον τὸν χαλκόν · ἐπιβάλλων τὸν κασσίτερον, καὶ συνκατάμισγε. Εἶτα ἐπίβαλε τὸ σῶμα τῆς μαγνησίας, καὶ συνκατάμισγε · ὅταν δὲ ψυγῇ, εὑρήσεις αὐτὸν θραυστὸν καὶ τριπτόν. Τοῦτον λειώσας, ἐπίβαλε αὐτῷ χαλκίτεως γ°γ° β′, (f. 271 v.) καὶ ὄπτα ἐν [630] βατανίοις πεπηλωμένοις, < καὶ > εὑρήσεις αὐτὸν πυρρὸν ὡς ῥοδινόν. Ἀνάμισγε καλῶς, καὶ ἔχε. Ἀνελόμενος οὖν ταῦτα, χώνευσον πρὸς τὴν δηλου-

626. ἐπὶ γον A. — F. l. τυρῶδες.
627. πυροχάλκου A.
628. πυρὸν ἔλαττον] F. l. πυρι- ou πυριλατον, synonyme de θερμέλατον (*M. B.*). F. l. πυρι- ou πυροέλατα (*C. E. R.*).
629. ἰματώδους A.
630. αὐτὸ A.

μένην χρείαν. Λίπηται ἀδιάλυτον χρόνον τὸ χλωρόν.[631]

23. ΧΡΥΣΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν τὸν θηλυκὸν πυρίτην καὶ τὸν καὶ ἀργυρίζοντα,[632] ὃν καὶ σιδηρίτην λίθον καλοῦσίν τινες, οἰκονόμει ὡς οἶδας, ἵνα[633] ῥεύσῃ. Καὶ εἰ μὲν εἰς χαλκὸν, λευκάνεις αὐτὸν ὡς οἶδας · εἰ δὲ εἰς ἄργυρον, ξανθώσεις αὐτὸν τῇ ὀπτήσει τοῦ θείου τοῦ εἴδας · καὶ ἐπίβαλε αὐτὸν[634] ξανθὸν τῇ ὕλῃ, καὶ βάπτεις αὐτὸν · ἡ γὰρ φύσις < τῇ φύσει > τέρπεται.[635]

24. ΑΛΛΗ ΠΟΙΗΣΙΣ. ΑΡΣΕΝΙΚΟΥ ΛΕΥΚΩΣΙΣ. — Ἀψινθίου ἐξ ἴσου σὺν ὀλίγῳ ὕδατι λειώσας, ἔχε ξηρίον · καὶ χώνευσον μόνον τὸν χαλκὸν, ἐπίβαλε, καὶ γίνεται τριπτόν. Τοῦτο λειώσας, ὅπτα σὺν ἰσοστάθμῳ ἁλατίῳ ὥρας β′, καὶ ἄρας, εὑρήσεις ξανθὸν τοῦτον τριπτόν · ἀνακάμψας ταύτῃ τῇ ἀγωγῇ, ἔξεις χαλκὸν, τοῦ χρυσοῦ μελαντίου αὐτοῦ μέρος α′ καὶ χρυσοῦ μέρος α′. Γίνεται ὄβρυζον καλόν.[636]

25. ΠΩΣ ΔΕΙ ΠΟΙΗΣΑΙ ΧΡΥΣΟΝ ΔΟΚΙΜΟΝ. — Λαβὼν λίθου μαγνήτου[637] δραχμὰς β′, κυανοῦ ἀληθινοῦ δρ. β′, σμύρνης δρ. η′, στυπτηρίας σχιστῆς ἐξωτικῆς δρ. β′, ἐν ἡλίῳ τρίψας μετὰ οἴνου λίαν χρηστοῦ.[638]

26. Ὑπάρχουσιν δέ τινες ἀπιστοῦντες τὴν ἐκ τῶν ὑγρῶν

631. λίπειται ἀδιάλοτον A.
632. § 23] Cp. Démocrite, *Physica et mystica*, § 5 (p. 44).
633. ὃν] τὸν A.
634. τοῦ εἴδας] F. l. ὡς οἶδας.
635. ὕλῃ] signe de ἄργυρος. F. l. τῷ ἀργύρῳ (*M. B.*). Lu ὕλῃ d'après le texte de Démocrite (*C. E. R.*).
636. ὄβρυζον] ὄχρηζον A.
637. δεῖ] δὲ A.
638. ἡλίῳ] signe de l'or et du soleil A. F. l. χρύσῳ ? (*M. B.*). — F. l. τρίψον.

ὠφέλειαν,[639] οὐκ ἔργῳ τὰς ἀποδείξεις ποιοῦντες. Τὴν ἐκ τῶν ὑγρῶν ὠφέλειαν ἐννόει · ἐχρῆν δὲ ποιοῦντας ἐκ τῶν θείων θαυμάσια, ἢν ἀνιέναι χρὴ ποιεῖν · ἔστω δὲ ὡς φυράσαντα, συνχωνευθῶσιν εἰς κάμινον χρυσοχοϊκὴν, καὶ φυσίας ποιου- (f. 272 r.) μένους τὴν ἀπ' αὐτῶν φύσιν ἐκδέχεσθαι.

27. ΟΙΚΟΝΟΜΙΑ ΤΗΣ ΘΕΙΟΤΑΤΗΣ ΜΑΓΝΗΣΙΑΣ. — Λειώσας αὐτὴν,[640] ἔμβαλε εἰς ζύμην, καὶ ὄπτα. Τοῦτο ποίει ἑπτάκις. Ταύτην χωνεύσας εὕροις ἄργυρον κάλλιστον. Πάντα μαλάσσει, πάντα λευκαίνει · ἀλλὰ καὶ ὕελον μαλάσσει, ὥστε καὶ λευκαίνεσθαι αὐτὸν ποιεῖ.

28. ΟΙΚΟΝΟΜΙΑ ΣΑΝΔΑΡΑΧΗΣ. — Λαβὼν σανδαράχην, ζέσον αὐτὴν εἰς οὖρον ἑπτάκις, καὶ ξηράνας ἐν ἡλίῳ, οὕτως χρῶ.[641]

29. ΟΙΚΟΝΟΜΙΑ ΠΥΡΙΤΟΥ. — Λαβὼν πυρίτην τὸν χρυσίζοντα (γεννᾶται δὲ ἐν τῇ Λιβύῃ < καὶ ἐν τοῖς > ὄρεσιν τοις κατ' Αἴγυπτον, μάλιστα ἐν Αὐγάσει · Αὐγάσεις δέ εἰσιν Τριβουθῆς) · χρυσίζοντα τοῦτον λαβὼν, οἰκονόμει οὕτως. Λειώσας αὐτὸν πάνυ ἀπόπλυναι ὀξάλμῃ τρὶς, καὶ ξήραναι · καὶ λαβὼν αὐτοῦ μέρη β', καὶ μολύβδου μέρος α'.[642] Λύσας τὸν μόλυβδον, σκόρπιζε διὰ τοῦ πυρίτου · καὶ ὅταν γένηται[643] χνοὺς, βαλὼν ἐν ἀγγείῳ ὀστρακίνῳ,

639. τινες] Cp. Synésius, § 2, p. 57.
640. § 27] Reproduit ci-après § 41.
641. οὖρος ἐζ΄ κις.
642. τρὶς] τρίτον A.
643. λύσας] F. l. λειώσας.

καὶ πηλώσας ἀσφαλῶς, ὅπτα εἰλικτοῖς φωσὶν ἡμέρας β′, καὶ ἀνελόμενος ἔχε. Τοῦτο καλοῦμεν ἄνθος.[644] Τούτου λαβὼν μέρη γ′ καὶ τοῦ σατορίου μέρος α′, θεράπευε συλλειῶν[645] οἴνῳ αὐστηρῷ ἡμέραν α′, καὶ ξηράνας, ἀναλαβὼν, ἔχε.

30. ΟΙΚΟΝΟΜΙΑ ΤΟΥ ΘΕΙΟΥ. — Λαβὼν λίθον τὸν ὠχρὸν τὸν ψωρίζοντα · (γεννᾶται δὲ παντὶ χρόαν ἔχων λίθου φρυγίου, μέγεθος τοῦ[646] ῥιζαρίου τοῦ ἐλυδρίου). Τοῦτον λαβὼν, οἰκονόμει οὕτως. Ἀγγώσας αὐτὸν ἀπόπλυνον ὄξει τρίς · καὶ λαβὼν εἰς ἄγγος ὑέλινον, ἀπόβρεχε[647] ἅλμῃ δικαίᾳ ἡμέρας β′. Εἶτα καὶ ἀποσειρω- (f. 272 v.) σας, ἀπόπλυνον γλυκέῳ ὕδατι πολλάκις. Λαβὼν τούτου μέρη ΣΤ′ καὶ τοῦ αὐτορρύτου[648] μέρος α′, καὶ ξηράνας, λαβὼν, ἔχε.[649]

Τοῦτό ἐστιν τὸ καλούμενον χρυσόλιθον.

31. < Λαβὼν > λίθον τὸν χρυσίζοντα, καὶ γῆν σαμίαν, καὶ ἅλας ἄνθιον, καὶ ὀπὸν συκῆς, ποιήσας γλοιοῦ πάχος, χρίε τὰ πέταλα, καὶ ἐκσωματίζεται ὁ χαλκὸς.

31 bis. ΠΕΡΙ ΑΡΓΥΡΟΠΟΙΙΑΣ.[650]

32. ΥΛΗ ΧΡΥΣΟΠΟΙΙΑΣ. — Λαβὼν ὑδράργυρον τὴν ἀπὸ κινναβάρεως,[651] σῶμα μαγνησίας, χρυσοκόλλην, ὅ ἐστιν βατράχιον < καὶ > ἐν τοῖς χλωροῖς λίθοις εὑρίσκεται,

644. εἰλικτοῖς] F. l. ἀλήκτοις (comme p. 123, l. 6) ?
645. F. l. σατυρίου.
646. παντὶ] F. l. πάντη.
647. τρὶς] γον A. — λαβὼν] F. l. βαλὼν. (Confusion fréquente dans les mss.)
648. αὐτορίτου A.
649. λαβὼν] F. l. ἀναλαβὼν.
650. § 31 bis] Démocrite, § 29.
651. λαβὼν] F. l. λάβε.

κλαυδιανὸν, ἀρσένικον τὸ ξανθὸν, καθμίαν, ἀνδροδάμαντα, στυπτηρίαν σχιστὴν ταπεινωθεῖσαν, θεῖον ἄπυρον ὅ ἔστιν ἄκαυστον, πυρίτην, ὤχραν ἀττικὴν, σινώπην ποντικὴν, θεῖον[652] ὕδωρ ἄθικτον. Ἐὰν ἀκούσῃς τοῦ ἀπὸ μόνου θείου · ἐὰν δὲ ἀπολελυμένος[653] τῷ δι' ἀσβέστου θείῳ, αἰθάλην, σῶριν ξανθὸν, χάλκανθον ξανθὴν καὶ κιννάβαριν.

33. ΥΛΗ ΖΩΜΩΝ. ΖΩΜΟΙ. — Τὰ δὲ ἐν ζωμοῖς ἐστιν ταῦτα · κρόκος[654] κιλίκιος, ἀριστολοχίᾳ, κνήκου ἄνθος, ἐλύδριον, ἄνθος ἀναγάλλιδος τῆς τῶν κυ- (f. 273 r.) ανέων, κυανὸς, χάλκανθος, κόμμι ἀκάνθης αἰγυπτίας, ὄξος, οὖρον ἀφθόριον, ὕδωρ θαλάσσιον, ὕδωρ ἀσβέστου, ὕδωρ σποδοκράμβης, ὕδωρ φέκλης, ὕδωρ στυπτηρίας, ὕδωρ νίτρου, ὕδωρ ἀρσενίκου, ὕδωρ θείου, οὖρον, γάλακτος ὀνείου, ἀπὸ κυνὸς γάλα. Αὕτη ἡ ὕλη τῆς χρυσοποιΐας, ταῦτά ἐστιν τὰ ἀλλοιοῦντα τὴν ὕλην · ταῦτα πυρίμαχά εἰσιν · ἐκτὸς τούτων οὐδέν ἐστιν ἀσφαλές. Ἐὰν ᾖς νοήμων, καὶ ποιήσῃς ὡς γέγραπται, ἔσῃ μακάριος. Ἐπιβάλλει χαλκὸν[655] χρυσῷ · διὰ ταῦτα διὰ τὸ χρυσοκοράλλιον, ποτὲ ἄργυρον διὰ τὸν χρυσὸν, ποτὲ χαλκὸν διὰ τὸ ἤλεκτρον, ποτὲ μόλυβδον διὰ τὸν μόλυβδον. Αὕτη ἡ ὕλη εἰς τὴν χρυσοποιΐαν εἰρήσθω.

34. ΥΛΗ ΑΡΓΥΡΟΠΟΙΙΑΣ. — Ἔστι δὲ ὑδράργυρος ἡ ἀπὸ ἀρσενίκου, ἢ σανδαράχης, ἢ ψιμμίθεως, ἢ μαγνησίας,

652. ἄκαυστον] αὔκαστον A. — ὤχρα ἀττικὴ, σινώπη, etc. au nominatif dans A.
653. F. l. ἀπολελυμένον.
654. § 33] Cp. Synésius, § 5 (ci-dessus, p. 59-60).
655. F. l. ἐπίβαλλε.

ἢ στίμμεως ἰταλικοῦ · ποιήσει εἰς τοιοῦτον · ὃ ἐὰν βούλῃ ἐκστρέψας · ἐὰν χαλκὸν οἰκονομήσῃς ὡς δέον, φέρεις ἔξω τὴν φύσιν. Γῆ χεία, κατμία λευκή, γῆ ἀστερίτη, κιμωλία, ἀρσενίκου τὸ λευκόν, μίσυ ὀπτόν, μίσυ ὠμόν, λιθάργυρος λευκή, ψιμμίθιον, νίτρον πυρρὸν ὅ ἐστιν ῥίθεον, ἅλας καππαδοκικόν,[656] μαγνησίας λευκῆς, ἀφροσέληνον ὑαλοῦ, κυανός, τίτανος ὀπτή.

35. Ταῦτα παρὰ τοῦ εἰρημένου διδασκάλου μεμαθηκὼς ἠσκούμην[657] ὅπως ἀκούσω τὰς φύσεις. Ἡ φύσις γὰρ τὴν φύσιν νικᾷ, καὶ ἡ φύσις τὴν φύσιν κρατεῖ.

36. ΟΙΚΟΝΟΜΙΑ ΠΥΡΙΤΟΥ.[658]

37. ΟΙΚΟΝΟΜΙΑ ΠΥΡΙΤΟΥ ΑΡΓΥΡΙΤΟΥ.[659]

38. ΘΕΙΟΥ ΜΕΛΑΝΟΣ ΕΝΚΑΥΣΤΟΠΟΙΗΣΙΣ. — Παλαιότατα τῶν ἀπὸ[660] τοῦ θείου ὕδατος τὸ ἐν ἀπομείναντι λύει σὺν τῷ ἰδίῳ ὕδατι, τουτέστιν[661] οὔρῳ ἀφθόρῳ ἡμέραν α′, καὶ πότισον πάλιν ἐλαίῳ κικίνῳ ἕως μέλιτος πάχος, καὶ βάλε εἰς βίκον πλατὺν, καὶ εὐρύχωρον ἕως ἡμίσεως, ἵνα[662] ἔχῃ ποῦ καχλάσαι ἐν τῇ θέρμῃ. Τοῦτο περιπηλώσας, ἵνα μὴ διαπνεύσῃ,[663] βάλε εἰς κύθραν χείμεντος · καὶ περιπηλώ-
(f. 274 r.) σας τὴν χύτραν,[664] θὲς ἐν καμίνῳ ὑελουργικῇ

656. ῥίθεον] Cp. Lexique, p. 11. l. 18.
657. § 35] Démocrite, 2, 1, fin du § 2. Ταῦτα ἄνθη κ. τ. λ.
658. § 36] Démocrite, § 6.
659. § 37] Démocrite, § 5.
660. θείου ἐνκαυστοποίησις] F. l. θ. ἐγκαύστου ποίησις.
661. ἐναπομίναντι A.
662. F. l. πάχους.
663. κοχλάσαι A.
664. χείμεντος] F. l. κείμενον (*M. B.*).

εἰς τὰ ἄνω φῶτα, ἕως ξῆρον γένηται. Εἶτα ἄρας, λύε οὔρῳ ἀφθόρῳ, καὶ ἀναξηράνας ἔχε μέλαν ἔνκαυστον κίκινον.[665]

39. ΥΔΑΤΟΣ ΞΑΝΘΟΥ ΠΟΙΗΣΙΣ. — < Λαβὼν > κιννα-βάρεως μέρη β′, μίσεως ὠμοῦ μέρος α′, τουτέστιν τὸν κρόκον, συνλύε οὔρῳ ἀφθόρῳ[666] λίτραν, τοῦ ὕδατος χαλκοῦ γ° α′ · καὶ ἀποσειρώσας ἐν τῷ αὐτῷ ὕδατι, λύε · καθαρίει · συνλείωσον τὴν προκειμένην κιννάβαριν καὶ τὸ μίσυ, καὶ ἀνάσπα ὕδωρ ξανθόν · τοῦς ὀποὺς, ἅπαξ γάρ ...

40. ΛΕΥΚΩΣΙΣ ΜΑΓΝΗΣΙΑΣ. — Λαβών μαγνησίαν, ἴσον ἁλὸς καππαδοκικοῦ, βάλε εἰς ἄγγος ὀστράκινον, ἀπὸ ὀψὲ ἕως πρωΐ. Ἐὰν δέ ἐστιν μέλαινα, καῦσον ἕως ἀναλευκανθῇ, κάλλιον δέ ἐστι εἰς κάμινον ὀπτᾶν αὐτὴν ὑελουργικήν. Κρύπτε τοῦτο τὸ μυστήριον, ἔστι γὰρ τοῦτο τὸ ὅλον τὸ συνέχον τὴν λεύκωσιν ἐψήσει.

41. ΟΙΚΟΝΟΜΙΑ ΤΗΣ ΘΕΙΟΤΑΤΗΣ ΜΑΓΝΗΣΙΑΣ.[667]

42. ΟΙΚΟΝΟΜΙΑ ΣΑΝΔΑΡΑΧΗΣ. — Λαβὼν σανδαράχην τὴν μὴ σιδηροῦσαν, μηδὲ λιθώδη, ἀλλὰ τὴν κιρρὰν καὶ αἱματώδη, λειώσας,[668] ἀκρόπασον · ἡ ἔκλεκτος βληθεῖσα καὶ ῥίνισμα χαλκοῦ οὐκ ἐᾷ ῥέειν[669] αὐτόν.[670]

43. ΜΟΛΥΒΔΟΝ ΚΑΘΑΡΟΝ ΠΟΙΗΣΑΙ. — < Λαβὼν > στυπτηρίαν σχιστὴν καὶ νίτρον στύψας μεθ' ὕδατος

665. λύε] F. l. λείου (ici et plus loin).
666. συνλύε] F. l. συλλείου.
667. §41] Même texte qu'au § 27, sauf quelques variantes sans importance.
668. κιρρὰν] κυρὰν A.
669. ἐᾷ] ἔα A.
670. F. l. αὐτὴν.

ψυχροῦ ὄντος τοῦ ὄξους καὶ ἐκπυρὶ αὐτὸν, καὶ γίνεται λευκός.[671]

44. ΑΛΛΗ ΠΟΙΗΣΙΣ ΧΑΛΚΟΥ ΚΕΚΑΥΜΕΝΟΥ. — Λαβὼν σανδαράχην καὶ θεῖον ἄπυρον, κοράλλιον καὶ κρόκον, βαλὼν εἰς ἰγδὴν, τρίβε ἐπὶ ἡμέρας μ΄ εἰς οὖρον παιδὸς ἀφθόρου καὶ μετὰ μ΄ ἡμέρας, βάλλεις τὸ ὕδωρ τῶν κρόκων, καὶ τρίβεις ἐπὶ ἄλλας ἡμέρας κ΄, ἕως ὅτε μιγῶσιν καὶ συνγαμήσωσιν τὰ εἴδη καὶ χαλκοῦ ῥίνισμα. Καὶ μετὰ ταῦτα βάλλεις τὸ φάρμακον εἰς ἀγγεῖον ὀστράκινον χρισθὲν πηλῷ καλῶς · καὶ καίεις αὐτὸ χυτρίδιον εἰς κάμινον ἡμέρας ζ΄. Ἐὰν ἔστιν λευκότερον, καῦσον ἄλλας ἡμέρας γ΄, ἵνα γένηται ξανθόν.

45. ΧΑΛΚΟΥ ΛΕΥΚΩΣΙΣ. — Λαβὼν χαλκὸν κύπριον, καὶ δεῖ κροτεῖν[672] · εἶτα πυρώσας βάπτε ἢ κιμωλίαν ὀξάλμῃ λελειωμένην. Τοῦτο πολλάκις[673] ποίει · καὶ πάλιν πυρῶν κρότει, καὶ ἕξεις χαλκὸν λευκὸν, τούτου μέρος α΄, καὶ ἀργύρου μέρος α΄. Γίνεται τὸ πᾶν λευκόν.

46. ΑΡΓΥΡΟΥ ΔΙΠΛΩΣΙΣ. — Ἐπειδὴ καὶ εἰς τὴν ἱερωτάτην βίβλον εὑρίσκομεν ἀναγεγραμμένας ἀργύρου κράσεις διὰ τοῦ κασσιτέρου,[674] ἀναγκαῖον ἐκθέσθαι τὰ μυστήρια καὶ τὰς καθάρσεις αὐτοῦ, ὅπως ἐν[675] μηδενὶ ἁμάρτῃς.

671. ἐκπυρὶ] F. l. ἐκπύρου. (*M. B.*). — La suite comme au § 30, à partir de λαβὼν οἰκονόμει.
672. δεῖ κροτεῖν] δὴ κρατεῖν A.
673. ἢ] F. l. εἰς.
674. ἀναγεγραμμένα A.
675. ἐνθέσθαι A.

Βαλὼν στυπτηρίαν, καὶ ἅλας καππαδοκικὸν, σύστρεφε μετὰ μαγνησίας[676] · καὶ χρόαν προσδίδωσιν ὅτε τυραννικὸς ἥρος (?) σὺν τῷ ἐλαίῳ,[677] ἐμβαφῇ ποιεῖ αὐτὸν καὶ λιπαρὸν καὶ ἄνοσμον.

47. ΜΕΛΑΝΩΣΙΣ ΑΡΓΥΡΟΥ. — (f. 275 r.) Λαβὼν θεῖον ἄθικτον, ἔψησον πυρὶ μαλθακῷ ἀπὸ θαλλίων ζ′ · ἀποχέων εἰς οὖρον ἀφθόρου παιδὸς[678] πρόσφατον, ἔψον αὐτὸ ἕως οὗ λάβῃ βράσματα β′. Εἶτα βάλε εἰς ὄξος δριμύτατον, καὶ βάλε εἰς ἀγγεῖον ἕτερον ὄξος, γλοιοῦ πάχος, καὶ δὸς ὀπτηθῆναι νυχθήμερον λελειοτριβημένον δὲ ξανθόν. Ἐκ τούτου δὲ ἐπίβαλε ἄργυρον, καὶ γίνεται δόκιμον.

48. ΚΑΤΑΣΤΑΘΜΟΙ ΧΡΥΣΟΥ. — < Λαβὼν > στυπτηρίας σχιστῆς μέρος α′, ἀμμωνιακοῦ Κανώπης ἣν χρῶνται οἱ χρυσοχόοι μέρος α′, χωνευθέντος τοῦ χρυσοῦ, μίσγε.

49. Η ΣΑΝΔΑΡΑΧΗ ΟΥΤΩΣ ΟΙΚΟΝΟΜΕΙΤΑΙ. — Λαβὼν σανδαράχην[679] τὴν μὴ σιδηροῦσαν μηδὲ τὴν λιθώδην, ἀλλὰ τὴν κιρρὰν καὶ αἱματώδη, ταύτης γ° γ° ι′, λειώσας πάνυ καλῶς, βάλε ἐν φιάλῃ ὑελίνῃ. Εἶτα βαλὼν ὄξος δριμύτατον κ° β′, καὶ ἅλας κοινὸν γ° γ° ε′, πώμασον τὴν φιάλην ἐρίῳ ῥάκει · ἐπίθες βατάνιον ἐπίχειμον (?), καὶ[680] ἔασον αὐτὸ ταριχεύεσθαι ἐπὶ ἡμέρας ζ′. Εἶτα μετάβαλλε ἐν λοπάδι, καὶ ὑπόκαιε ὥρας γ′. Εἶτα ἀπόξυσον

676. F. l. Λαβὼν.
677. ἥρος] F. l. ἔρως (*M. B.*)
678. ζ′] F. l. καὶ (correction qui s'explique par la paléographie).
679. σανδαράκη A ici et presque partout. — Cp. les §§ 28 et 42. — κιρρὰν] κηρὰν A.
680. ἐρέωράκην A. — ἐπίχειμον] F. l. ἐπίφιμον.

τὴν ἄχλην, καὶ πλύνον ὕδατι[681] γλυκέῳ, καὶ εὑρήσεις αὐτὸ γινόμενον κιρρὸν ὡς αἷμα. Εἶτα ξήρανον ἐν[682] ἡλίῳ · βάλε πάλιν ἐν τῇ φιάλῃ. Εἶτα βαλὼν οὖρον βοὸς μείναντος[683] ἡμέρας ζ′, ἕως σφοδρότερον γένηται καὶ δριμύτερον · καὶ οὕτως ἐπίβαλε τὴν πεπλυμένην σανδαράχην, καὶ ἔασον αὐτὸ ταριχεύεσθαι ἡμέρας ζ′, ἕως σφοδρότερον γένηται. Εἶτα πλύνας ὕδατι γλυκέῳ, ξήρανον ἐν ἡλίῳ · καὶ ἄρας, ἔχεις τὰς ἀπαιτουμένας χρείας τῶν γινομένων καταβαφῶν.

50. < ΠΕΡΙ > ΤΟΥ ΕΞΙΩΘΕΝΤΟΣ ΧΑΛΚΟΥ. — < Λαβὼν > ἀνδροδάμαντος ⋆,[684] (f. 275 v.) χρίσον τὰ πέταλα ἐπάνω καὶ κάτω, καὶ φιμώσας ἐκτρόχιζε ὕελον λευκόν.

51. ΧΡΥΣΟΠΟΙΙΑΣ ΖΩΜΟΙ.[685]

52. ΧΡΥΣΟΥ ΜΑΛΑΞΙΣ ΩΣΤΕ ΕΝ ΑΥΤΩ$_{ι}$ ΣΦΡΑΓΙΖΕΙΝ. — < Λαβὼν > νίτρου πυρροῦ δρ. β′, κινναβάρεως δρ. γ′, μίξας, λείωσον ὄξει, καὶ[686] ἐπίβαλε στυπτηρίαν ὀλίγην · καὶ ἔασον ξηρανθῆναι. Καὶ ἔπειτα λειώσας ἀπόθου · καὶ λαβὼν χρυσοῦ ἡμιωβόλιον, καὶ ἀρσενίκου χρυσίζοντος δρ. α′, μίξας πάντα, λύε παραχέων κόμμεως καθαροῦ βεβρεγμένου ὕδατι[687] · καὶ οὕτως ἀναλαβὼν, σφράγιζε ὃ βούλει, καὶ ἔασον ἐπὶ ἡμέρας β′, καὶ παγήσεται ἡ σφραγίς.

53. ΧΡΥΣΟΥ ΟΙΚΟΝΟΜΙΑ ΕΠΙ ΤΟΥ ΕΛΑΙΟΥ. —

681. ἄχλην] F. l. ἄχνην.
682. κιρρὸν] κηρὸν A.
683. μείναντος] F. l. μεῖναν.
684. ἀνδροδάμαντος] La dose n'est pas indiquée.
685. § 51] Démocrite, § 25.
686. πυροῦ A, ici et partout.
687. λύε] F. l. λείου. — ὕδατος A.

Λαβὼν λιθαργύρου δρ. δ′, χρυσοῦ δρ. β′, χαλκοῦ πυρροῦ < ἢ > πυρροχάλκου δρ. α′, στυπτηρίας δρ. α′, κατμίας δρ. α′, ἔστω τῷ ἀργύρου καὶ τῷ χρυσοῦ[688] ῥινίσματι, καὶ συνκατάμισγε τὴν λείωσιν ὡς μιοῦση (?). Εἶτα ὅταν[689] κηρωτῆς πάχος γένηται, τότε τὸ ἐλύδριον καὶ τὸ ἀρσένικον · εἶτα τὴν κατμίαν (f. 276 r.) καὶ τὴν στυπτηρίαν · βαλὼν εἰς λοπάδα, καὶ[690] ἐλαφροῖς ἄνθραξιν ἐμβαῖνον κρόκου ὠμοῦ ὄξος τετιμημένον, οὕτως ποίει.

54. ΚΑΤΑΒΑΦΗ ΧΡΥΣΟΥ. — < Λαβὼν > μίσιος μεταλλικοῦ μέρη δ′, ἐλυδρίου ῥίζης μέρος α′, ταῦτα τρίψας, μέλιτος πάχος ποιῶν, ταρίχευσαι οὔρῳ ἀφθόρου, καὶ βάπτε ὕδωρ ψυχροῦ. Χαλκὸς καεὶς ἑπτάκις, καὶ[691] ἀνακαμφθεὶς χρυσὸς κρείττων ἐστί. Χρυσὸς καίεται, καὶ καιόμενος[692] σήπεται, καὶ σηπόμενος βάπτει πᾶν σῶμα.

55. Λαβὼν σανδαράχην, θεῖον, λιθάργυρον, στυπτηρίαν, ἅλας, ὕδωρ νεφέλης ἀνὰ μέρος α′, λείωσον ἄχρις ἂν καταποθῇ ἡ ὑδράργυρος εἰς ὄξος · καὶ ξηράνας ἀνένεγκαι αἰθάλας ἄχρις ἂν λευκανθῇ · καὶ ἐπίβαλε ἐκ τοῦ ξηρίου τούτου δρ. α′ ἐπὶ χαλκὸν κύπριον κεκαθαρμένον, καὶ ἔχε.

56. Λαβὼν ὑδραργύρου μέρος α′, καὶ μυσίδην μέρος α′, μίξον ἀμφότερα ἕως ὅτου ἑνωθῶσιν · καὶ εἶθ' οὕτως αἰ-

688. στυπτηρίας] signe commun à στυπτ. et à στυπτ. σχιστή A, ici et dans la suite. — ἔστω] Il faudrait λείου. — τὸ ἀργ. en signe et τὸ χρυσ. en signe A.
689. λείωσιν] s. de λείωσον A. — F. l. ὡς μειώσῃς.
690. καὶ ἐλαφρ. α.] F. l. καίε ἐλαφ. ἄ.
691. F. l. ὕδατι ψυχρῷ.
692. F. l. χρυσοῦ κρείττων.

θάλισον · καὶ λαβὼν τὴν αἰθάλην, μίξον μετὰ τῆς σκωρίας, καὶ πάλιν αἰθάλισον, καὶ οὕτως ποίει τρίς · καὶ μετὰ τὰς γ΄ ἡμέρας, λάβε τὴν ἀνελθοῦσαν ὑδράργυρον,[693] καὶ πότισον αὐτὴν εἰς οὖρον ἡμέρας ζ΄ ἐν ἡλίῳ θερμῷ. Καὶ εἶθ' οὕτως ψύξας, ἔμβαλε αὐτὴν εἰς βῆσσαν, καὶ ἔμφραξον τὴν βῆσσαν μετὰ ἅλατος, καὶ δὸς τὴν βῆσσαν εἰς χύτραν καὶ ἂς γένηται τὸ στόμα τῆς[694] χύτρας ὑποκάτωθεν μολύβδου, ἕως ὅτου καλυφθῇ ἡ βῆσσα · καὶ πήλωσον τὸ πῶμα τῆς χύτρας, καὶ ὅτε ψυγῇ καλῶς, ἔμβαλε αὐτὴν εἰς πυρόκοπρον νυχθήμερον · καὶ εἶθ' οὕτως ἐκβάλας, ἔχε.

57. ΛΥΣΙΣ ΑΜΙΑΝΤΟΥ. — Δὸς τὸν ἀμίαντον εἰς χω-
(f. 276 v.) νευτῆρα,[695] καὶ βάλε ἐπάνω αὐτοῦ λινέλαιον, ἕως ὅτου ἴδῃς τὸν ἀμίαντον ὡς τὸ πῦρ · καὶ οὕτως ἔκβαλε, καὶ λείωσον καλῶς · καὶ λαβὼν μαγνησίαν ὀλίγην, καὶ ἅλας ἀμμωνιακὸν, καὶ νίτρον ὀλίγον, καὶ τρίψον μετ' αὐτοῦ, καὶ χώνευσον, καὶ φέρε ὕδωρ βαὐρουκῶ (?), καὶ δὸς ἐκ τοῦ ὕδατος τὸ χωνὴν καὶ τὰ λοιπὰ ξηρία μετὰ τοῦ ἀμίαντου · καὶ φύσα ἕως ὅτου[696] λυθῇ · καὶ ἐπίβαλε μικρὰ μικρὰ (sic) ἐκ τοῦ λειωθέντος ἅλατος, καὶ ἐξελθὼν, ἔχε.[697]

Καὶ λαβὼν μαγνησίαν, λεύκανον καὶ πυρίτην καὶ χαλκὸν κεκαυμένον[698] ἐξ ἴσου, καὶ ὑδράργυρον ἀποθανοῦσαν · καὶ ὅταν θελήσῃς, λάβε σταθμὸν ἀργυρίου, καὶ ἐπίβαλε ἐκ τοῦ

693. τρίς] γον A.
694. ἂς A.
695. λύσις] F. l. χύσις (*M. B.*).
696. χωνὴν] F. l. χωνὶν (néogrec ?).
697. F. l. ἐξελὼν.
698. λεύκανον] F. l. μαγνησίαν λευκὴν ?

ξηρίου κεκαυμένου ἐπὶ τὸν κασσίτερον, καὶ ἔξεις ἀσήμην (?) λευκήν.[699]

58. Λαβὼν ὑδράργυρον λίτρας γ΄, καὶ ἀρσένικον λίτραν α΄, καὶ σανδαράχην λίτραν α΄, νίτρον ἀλεξανδρινὸν λίτραν α΄, μίσιος λίτραν α΄, χαλκάνθου λίτραν α΄, καὶ βαλὼν ἀμφότερα, λείωσον ἐν θυείᾳ ἀσφαλῶς[700] · καὶ βαλὼν ἐν χύτρᾳ καινῇ, στῆσον εἰς κυθρόποδα, καὶ περιχρίσας πέριξ πηλῷ τετριχωμένῳ, καὶ ποιήσας τὸ πέριξ τοῦ πώματος καὶ ἀνὰ δακτύλων δ΄, καὶ γυψώσας τὰ χείλη, ἵνα στερεώτερον γένηται, ἐπίθες πῶμα ἔχον ἀναφύσητον τὸ ἐπάνω · καὶ περιπηλώσας ἀσφαλῶς τὰς ἁρμογάς, ὄπτα ἐλαφρῷ φωτὶ, τὸ μὲν πρῶτον διὰ τῶν φώτων τῆς κανδήλας νυχθήμερον α΄, ἐπὶ πρόβασιν ποιῶν τὸ φῶς, ἐπίδος διὰ τῶν ἐπιλυχνίων ἄλλο νυχθήμερον α΄, καὶ ἔασον ψυγῆναι · καὶ ἀνακαλύψας πτερῷ, ἀναλάμβανε τὸ ἐπικείμενον ἄνω, καὶ ἴδε εἰ λευκοῦται · καὶ ἐξαγαγὼν τὸ ἀποκαθισμένον, μίξας πάλιν, (f. 277 r.) βάλε εἰς θυείαν, καὶ λείωσον ἀσφαλῶς, καὶ βάλε εἰς αὐτὴν τὴν χύτραν · καὶ περιπήλωσον ὁμοίως ἀσφαλῶς τὸ πῶμα · καὶ δὸς ὀπτᾶσθαι ἐλαφρῷ πυρὶ, πρὸς ἀνάβασιν διδοὺς τὸ πῦρ πάλιν νυχθήμερον α΄. Καὶ ἔασον ψυγῆναι, καὶ ἀνακαλύψας πάλιν, ποίησον ὡς πρώην, ἕως ὅτε ὀσμὴν θείου μὴ ἀποπέμψῃ, ἕως ἂν γένηται[701] ὡς γύψος. Καὶ ἄρας, βάλε εἰς ὕδωρ ἀκατάσβεστον ἀνασπασθὲν διὰ τοῦ[702] ἀμβίκος · καὶ βάλε

699. ἀσήμην] signe de l'argent A.
700. F. l. βαλὼν ἀμφ. ἐν θ., λείωσον.
701. πρωίν A.
702. ἀνασπασθέντος A.

αὐτὸ τὸ ὕδωρ μετὰ τοῦ συνθέματος, καὶ ποίησον[703] μέλιτος πάχος. Καὶ λείωσον ἀσφαλῶς ἐν τῇ θυείᾳ, καὶ ἔασον ξηρανθῆναι, καὶ ἔχε.

59. Λαβὼν οὖρον ἄφθορον, χαλκίτην, χαλκὸν, ζώσεις τῶν ὠῶν γ° γ° ΣΤ′, ταῦτα τρίψας καὶ ποιήσας χνοῶδες, ἕψει σὺν τῷ οὔρῳ ἕως οὗ τὸ θεῖον ἄθικτον ἀναλωθῇ.

Καὶ λαβὼν κασσιτέρου μέρος α′, καὶ ὑδραργύρου μέρη β′, καθάρισον τὸν κασσίτερον · οὕτως χωνεύσας αὐτὸν χύσον εἰς ὕδωρ θαλάσσιον[704] τρὶς, ἀθρόως μεταβαλὼν, καὶ πάλιν βάλε εἰς τὴν χώνην πίσσαν καὶ[705] στυπτηρίαν · εἶτα < δεῖ > σε χρίσασθαι (φύλαττε δὲ τὸ μυστήριον),[706] ἄχρις ἂν τὸ θεῖον ἀναχωρήσῃ ἐκ τῆς ὑδραργύρου.

Δοκίμαζε δὲ τὴν ὑδράργυρον οὕτως. Λαβὼν αὐτὴν, βαλὼν εἰς ὑελοῦν ἄγγος, τρίψον αὐτὴν εἰς τὴν ἰγδὴν, καὶ ποιεῖται αὐτῆς τὴν ἐπιφάνειαν ἐπὶ τὸ ξανθόν. Εἶτα λαβὼν αὐτὴν, ἔγκλειε ἐν ὑελίνῳ ἀγγείῳ. Πλήσας τὸ ἄγγος, ὡς ἔθος, δριμέως (φύλαττε δὲ τὸ μυστήριον) ὑπόφιμον, ἵνα μὴ διαπνεύσῃ τὸ ὄξος ἐκ τοῦ ἄγγους, καὶ ἔασον νυχθήμερον · καὶ τῷ ἐμπροθέσμῳ εὑρήσεις τὸ μυστήριον τῆς (f. 277 v.) ὑδραργύρου, τὸ πῶς αὐτὴν ἵνα μαχησώμεθα. Ἡ γὰρ φιλόσοφος ὑπὲρ ταύτης τῆς ὑδραργύρου ἐπεγράψατο[707]

703. A mg. : ιδ′ (1re main).
704. οὕτως] F. l. εἶτα.
705. τρὶς] γ′ A.
706. στυπτηρίαν] Ici et plus bas, dans A, le signe de l'alun surmonté de la finale αν, ce qui semble prouver que, dans ces textes, il faut lire στ. sans ajouter σχιστὴν.
707. Ἡ] F. l. Ὁ.

· « Ὅτε πήξεις τὴν ὑδράργυρον τὸ αὐτόρρευστον. » Τὸ γὰρ αὐτόρρευστον τὸ ὄξος ἐστίν · τὸ οὖν ὄξος ἐστὶν ἡ μαγνησία.

60. ... ...[708] < καὶ > οὕτως ἐπίπασσε εἰς τὴν χώνην ἐπάνω τοῦ χαλκοῦ. Ἔστω δὲ ὁ χαλκὸς προαξιωμένος ὄξει δριμεῖ,[709] καὶ στυπτηρίαν καὶ σάπωνον ἐπὶ τρὶς, ταξειδίῳ · καὶ τότε οὕτως[710] αὐτὸν ἐμβαλὼν, χώνευε. Ἐπίβαλε τὰ προειρημένα μίγματα, πυκνότερον ἐπίπασον μετὰ τῶν μιγμάτων · λευκότερον γὰρ ποιεῖ ταῦτα[711] · φανεῖται γὰρ αὐτὸς καθ' ἑκάστην χώνην πρόδηλος γινόμενος λαμπρότερος[712] < ἢ > πρὶν ἕτερον τὸν φάρμακον ἐμβληθῆναι. Ὅταν οὖν χωνευθῇ καλῶς, ἀπόχεε εἰς ἀγγεῖον προυπετρομένης τῆς σαμίας γῆς, καὶ ἔασον[713] συντετελεσμένον ἔργον. Καὶ πάλιν ἔγκρυψον, κατὰ τὸ ἔθος.

Καὶ πρὸ ἀργύρου πρωτείου ἀδραμιτίνῳ, καταχώνην δὲ ἔκχεε εἰς[714] τῆν γὴν σαμίαν τὸν χαλκὸν ἵνα μεταβληθῇ, καὶ βάπτε, καὶ πυκνῶς ἐνθάμιζε, καὶ ἀπόσμιγε, ἔχε.

61. ΠΕΡΙ ΧΑΛΚΟΥ ΕΛΑΤΟΥ ΕΛΑΥΝΟΜΕΝΟΥ ΕΠΙ ΤΟ ΛΕΠΤΟΤΑΤΟΝ. — Σκευασία · ἔστι δὲ καὶ τῇ χρείᾳ κάλλιστον, καὶ τῇ ἐμβαφείᾳ.

Λαβὼν χαλκὸν λευκὸν μνᾶν μίαν, χώνευε · ἐπίπασον

708. Une ligne et demie en blanc dans le ms.
709. F. l. προωξιωμένος.
710. τρὶς] γον A.
711. F. l. ἐπιπάσσων.
712. F. l. προδήλως (ici et plus bas).
713. F. l. προυπεστρωμένης.
714. F. l. ἀδρυμητίνου. — F. l. κατὰ χώνην.

ἅλας λευκὸν μετὰ στυπτηρίας, ἴσον, μετὰ ὄξους προαναδεδομένα καὶ ἀνεξηραμένα · εἶτα πάντα λειοτριβημένα ... (f. 278 r., l. 6). Ὅταν οὖν χωνευθῇ καλῶς,[715] ἀπόχεε εἰς τὸ ὑπερέχειν τὸ ὑγρὸν δακτύλους β′, καὶ οὕτως ἔασον[716] ἀποψυγῆναι. Εἶτα ἄρας, ἐπίχριε, ἀλλὰ λεπτῷ καὶ εὖ μάλα πυρώσας,[717] ἐναπόσβεσον εἰς ὕδωρ · ὅταν δὲ ψυγῇ, μηκέτι καθήσει εἰς ὑγρὸν, ἀλλ' ἔγκρυψον εἰς ἀγγεῖον ἁλὸς μετὰ στυπτηρίας · εἶτα δὲ < λαβὼν > ἁλὸς μέρη β′, καὶ στυπτηρίας μέρος α′ μεμιγμένων, καὶ ἔα ψυγῆναι ἐν τούτοις · ὅταν δὲ ψυγῇ, ἄρον. Καὶ ὅταν δὲ λευκότατον < ᾖ, > ἐλαύνεται[718] λοιπὸν ὡς θέλεις, καὶ ἐπακούσεται, ἐάν τε θερμὸν ἐλαύνῃς · ἐὰν[719] ψυχρὸν, τοῦτον δὲ κἂν θέλῃς τι ἀποθραῦσαι, οὐ δυνήσῃ, τοιαύτη αὐτοῦ ἐστιν ἡ εὐθυία καὶ ἡ εὐτονία. Ἔστι δὲ καὶ ἔκλεκτος εἰς ὑπερβολήν[720] · πεπείραται δὲ < ὅτι > κύπριος χαλκός ἐστιν ἐπιτηδειότερος εἰς ταύτας τὰς χρείας · ὠφείλεις δὲ ἐννοεῖν.

62. ΑΔΙΑΠΤΩΤΟΝ ΚΡΟΚΟΝ ΠΟΙΗΣΑΙ ΑΠΟ ΧΩΝΗΣ. — < Λαβὼν > ἀρσενίκου σχιστοῦ μέρη δ′, σανδαράχης κιρρᾶς καθαρᾶς μέρη δ′, σώματος[721] μαγνησίας οὐγγ. δ′, μέλανος σκυθικοῦ γ° α′, ἐλινικόκκιον νίτρου ὑαλίζον-

715. Après λειοτριβημένα] οὕτως ἐπίπασσε κ. τ. λ. jusqu'à ἀπόχεε (répétition des lignes 11 à 17 avec variantes insignifiantes). — τρὶς] γον A.
716. εἰς τοῦ A. F. l. ὥστε.
717. F. l. λεπτῶς.
718. ἐλαυνέται (*sic*) A.
719. F. l. ἐάν γε. — ἐλαύης A.
720. εὐθυία] F. l. εὐστάθεια.
721. κηρᾶς A.

τος[722] οὐγγ. ΣΤ′, λειώσας τὸ ἀρσένικον πάνυ ὡς χνοῦν, πρόσμιγε τὸ μέλαν τὸ σκυθικὸν, καὶ συνλείου · γίνεται χλωρόν. Εἶτα ἐπίβαλε τὸ σανδαράχην · καὶ πάλιν συνλειώσας μετὰ τοῦ νίτρου · ἔστι τὸ πρῶτον ὅμοιον, τὸ σῶμα τῆς μαγνησίας πάνυ ὡς χνοῦς, ἕως (f. 278 v.) γένηται[723] ὡς αἰθάλη. Σὺν ἑκάστῳ μίξας πάντα καὶ συνλειώσας, ἐπίβαλε ὄξος αἰγύπτιον δριμὺ, καὶ χολὴν ταυρίαν · καὶ συνλειώσας, ποίησον πηλῶδες[724] · καὶ ξηράνας ἐν ἡλίῳ ἐπὶ ἡμέρας γ′, λειώσας, κατάγγισον ἐν ληκυθίῳ, καὶ ὄπτα ἐν ᾧ ταύτης μόνης ἐπὶ ἡμέρας ε′. Εἶτα ἀνελόμενος[725] λείε, πρόσβαλε κόμμι · λείωσον μέρη οὐγγ. ι′, καὶ ἐπίβαλε. Ποίει[726] πηλῶδες καὶ χώνευσον τὸν κρόκον, καὶ ἐπίβαλε τὸ φάρμακον · καὶ[727] ὅταν γίνηται ὁ κρόκος χλωρὸς καὶ τριπτὸς, < λαβὼν > τοῦ τρίπτοντος[728] χρυσοῦ μέρος α′, χώνευσον, καὶ εὑρήσεις χρυσόν. Εἰ δὲ θέλεις πρώτιστον[729] καὶ καλοποίητον, < λαβὼν > ἐργασθέντος χρυσοῦ μέρη δ′, καὶ[730] τοῦ ⋆ μέρος α′, συγχωνεύσας. εὑρήσεις χρυσὸν δόκιμον καὶ κάλλιστον.[731] Κρύπτε τοῦτο, πολλά τε βεβαμμένου χρυσοῦ τὸ θεῖον καὶ ἀμετάδοτον[732] μυστήριον.

722. ὑαλίζοντος] ἡ ἁλίζοντος A.
723. F. l. ὅμοιον τῷ σώματι τῆς μαγν.
724. δρυμὴν A.
725. μόνης] F. l. μήνης (*M. B.*).
726. λείε] F. l. λείου.
727. χώνευσον en signe A.
728. F. l. τοῦ τριπτοῦ τοῦ κρόκου.
729. χρυσοῦ en signe A.
730. ἐργοθέντος A.
731. τοῦ] Le nom de la matière manque.
732. πολλά τε] F. l. πολλάκις.

63. Ἔπειτα καὶ τὸ σῶμα τῆς μαγνησίας προσέρεται.[733]

Λαβὼν μαγνησίαν θηλυκὴν, λείωσον ἐπιμελῶς · βαλὼν ἐν βατανίῳ ἅλας οὐγγ. β′, ἐπιπώμασον ἑτέρῳ βατανίῳ, ἵνα μὴ ἐκπνεύσῃ τὸ σῶμα τῆς μαγνησίας καὶ ἀπόληται. Καὶ λαβὼν οὖν τὸ βατάνιον τὸ θεῖον[734] παρόμοιον < στῆσον > ἔγγιστα τοῦ στηλαρίου ἐπὶ ἡμέρας β′. Εἶτα λαβὼν[735] τὸ βατάνιον, ἀνακαλύψας, περίξυσον, καὶ βαλὼν εἰς θυείαν, καὶ ἀναλειώσας, βάλε ἐν τῷ δευτέρῳ βατανίῳ · καὶ πάλιν περιπηλώσας τὰς ἁρμογὰς, δὸς ἐν τῷ ὀπτανίῳ ἀνὰ μέσον τὸ θεῖον < εἰς > τὸ ἀγγεῖον ἐκ δεξιῶν, ἐπίβαλε ἐπὶ ἡμέρας γ′ · καθ' ἡμέραν ἀπολάμβανε καὶ λείου, καὶ περιπήλωναι, ἕως γένηται λευκόν · καὶ λαβὼν ἐξ αὐτοῦ μέρη δ′, καὶ[736] νίτρον ἀγρικὸν ὑαλίζον μέρος α′, καὶ συνλειώσας ἐπίβαλε · λαβὼν καὶ πηλοποιήσας, κατάθου ἐν χωνείῳ τὸ σῶμα τῆς μαγνησίας.

Εὐποΐα καὶ εὐτυχία τοῦ κτισαμένου, καὶ ἐπιτυχία καμάτου καὶ μακροχρονία βίου.

✴

✴✴

733. F. l. προσαίρεται.
734. F. l. καὶ βαλὼν ἐν τῷ βατανίῳ.
735. F. l. στυλαρίου.
736. περιπήλωνε A (forme byzantine propre aux verbes en όω).

1.1.23 4. — 23. Les Huit Tombeaux. [737]

ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΤΕΧΝΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ

Transcrit sur A, f. 230 r. — *Collationné sur* E, f. 216 r. ;— *sur* Lc (copie de E), p. 385. — *Sauf indication spéciale, les variantes de* E *sont aussi dans* Lc.

1. Ἡμεῖς μὲν ἐν αἰνίγμασιν γράψαντες, ἐῶμεν ἡμῖν τοῖς ἐντυγχάνουσιν [738] τῷ παρόντι βιβλίῳ ἐπιμόνως σχολάσαι καὶ ἀνερευνῆσαι τοῦ μυστηρίου τὴν ὑπόθεσιν · φησὶν γὰρ ὁ φιλόσοφος ὅτι ἄνθρωποι γεγράφασιν, [739] δαίμονες δὲ φθονοῦσιν. Καὶ εἰκότως ἐπὶ βασιλείας οὐράνων οἱ πλείονες ἐντυγχάνοντες ἠξιώθησαν · σὺ δὲ τῆς Κλεοπάτρας βραχείᾳ [740] ἐξηγήσει ἐξακολουθῶν, οἵσεις εἰς φῶς τὸ σκοτεινὸν εὕρημα, καὶ χαρίσῃ. [741] « Ἄνελθε, φησὶν ἐκείνη, εἰς τὴν στέγην τὴν ἀνωτάτην. » Ἐγὼ δέ σοι [742] πλέον εἴποιμι ἐν τῷ πετηνῷ τῷ τετραστοίχῳ τῷ μέσον κειμένῳ τῶν δύο (f. 230 v.) φωστήρων, ἡλίου φημὶ καὶ σελήνης, ὅπερ ἐστὶν ὠὸν

737. Le titre est précédé, dans E Lc, des mots Ἀνωνύμου φιλοσόφου. Ce morceau, dans E, est de la main du copiste de Lc.

738. ἡμῖν] F. l. ἡμῖν. — ἡμᾶς τοὺς ἐντυγχάνοντας E.

739. ἄνθρωποι] Cp. ci-dessus, p. 86, l. 1.

740. Réd. de Lc : ἠξιώθησαν τῶν ἐφευρόντων ταύτην τὴν θείαν τέχνην · Puis dans Lc : ἡμεῖς δὲ (l. ὑμεῖς δὲ) τῇ τῆς Κλ. βρ. ἐξηγ. ἐξακολουθοῦντες.

741. οἵσεις] ἴσης A ; οἵσετε E. — χαρήσεσθε E.

742. ἐκείνη γάρ φησιν οὕτως · ἄνελθε εἰς τὴν στ. E. — Cp. Comarius, 4, 20, 11. — Réd. de E : ἐγὼ δὲ πλ. εἴποιμι · ἄνελθε εἰς τὸ πετηνὸν τὸ τετράστοιχον, τὸ κείμενον μέσον ...

ἀλαβαστροειδὲς, οὐκ ὠὸν ὄρνιθος, ἄπαγε, ἀλλ' ἐμφερὲς τῇ ἰδέᾳ ὠόν.[743]

2. Ἀποδερμάτωσον, ἄνοιξον προσεχῶς, σύντριψον ἀνηλεῶς. Εἶτα[744] λείωσον, καὶ λαβὼν σκεῦος ὑέλινον, ἐν αὐτῷ θὲς τὸ κόμαρι · πολυώνυμος[745] γὰρ καλεῖται · καὶ πηλώσας ἔνδοθεν ἑτέραν χύτραν, βάλλε γανωτὴν,[746] χῶσον ἐν ἱππείᾳ κόπρῳ θερμοτάτην ἡμέρας μ΄, ἀνὰ ἑπτὰ ἡμέρας παραλλάσσων[747] τὸν τόπον. Μετὰ δὲ τὴν ἐμπρόθεσμον, λαβὼν αὐτὸ τὸ ἄγγος,[748] καὶ ἐξελὼν τὸ ἐν αὐτῷ, λείωσον καλῶς ἐν πορφυρῷ τάφῳ, καὶ ἔσχε[749] τὸν νεκρόν. Αὕτη πρώτη ποίησις καὶ πρῶτος τάφος.[750]

3. Εἶτα λαβὼν τὸν νεκρὸν τὸν φύσει ὀδωδότα, θὲς δι' ἄμβικος, καὶ πυρὶ φλογὸς δρὸν σύγκαυσον ἀνασπῶν ὕδωρ ἂς μιγον. Καὶ τὸ μὲν ὕδωρ[751] τὸ πρῶτον ἔχε ἰδίως, ὁμοίως καὶ δεύτερον ἐν σκεύεσιν ὑελίνοις · τὸ δὲ ἐναπομένον κάτω ἐξελὼν, τρίψας ἡμέρας ζ΄, μετὰ δευτέρου ὕδατος[752] ἐν τάφῳ

743. ἀλλ' ἐμφ. κατὰ τὴν ἰδέαν ὠῷ.
744. Réd. de E : λαβὼν δὲ τοῦτο τὸ (τούτω τῷ E) ὠὸν, ἀποδ. αὐτὸ, καὶ ἄν. πρ. καὶ σ. ἀνειλεῶς.
745. πολυονύμως E, f. mel.
746. βάλλε] F. l. καλῶς.
747. εἰς ἱππείαν κόπρον E.
748. τόν τόπον] F. l. τὴν κόπρον (ici et aux §§ 4 et 5). — ἐμπρόθ. ἡμέραν E.
749. ἔσχε] ἔχε
750. Réd. de E : καὶ αὕτη ἐστὶ πρ. πο. κ. πρ. τάφος. — Dans A, la mention de chacun des 8 tombeaux paraît être rédigée en un vers iambique, moyennant deux légères corrections.
751. F. l. πυριφλόγως δρῶν. — δρὸν om. E. — ἀνασπάσας τὸ ὕδωρ τὸ ἀμιγὲς E.
752. τρίψας] τρίβε E.

πορφυρῷ · τὸ δὲ πρῶτον ὕδωρ φύλαξον · εἶτα θάψον τὸν νεκρὸν πάλιν ὡς ἀνωτέρω ἐν ἱππείᾳ κόπρῳ ἡμέρας μ΄, ἀνὰ ἑπτὰ ἡμέρας παραλλάσσων τὴν κόπρον. Δεύτερος τάφος καὶ καῦσις πρώτη αὕτη.[753]

4. Μετὰ δὲ τὴν ἐμπρόθεσμον ἐξελῶν ἐκ τῆς κόπρου, λείωσον πάλιν[754] αὐτὸ ἐν μαρμάρῳ, τοῦ φυλαχθέντος < ὡς > ἀνωτέρω πρώτου ὕδατος,[755] καὶ θὲς ἐν τοῖς ἄμβιξι, καὶ ἀνάσπα ὕδατα ὡς καὶ πρότερον · καὶ τὸ μὲν[756] φύλαξον, τὸ δὲ ἐνλειώσας τῇ τέφρᾳ, θὲς πάλιν ἐν ἱππείᾳ κόπρῳ ὁμοίως ἐν ἡμέραις μ΄, ἀνὰ ἑπτὰ ἡμέρας παραλλάσσων τὸν τόπον. Τρίτος τάφος[757] πέφυκε (f. 231 r.) καῦσις δευτέρα.

5. Ἔπειτα λαβὼν τὸ καταχώσας μετὰ τὸν ἀριθμὸν τῆν μ΄ ἡμερῶν,[758] λείωσον μετὰ τοῦ φυλαχθέντος ὕδατος, καὶ θὲς πάλιν ἐν ἄμβιξι, καὶ[759] ἀνάσπα ὕδατα ὡς ἀνωτέρω · καὶ τὸ μὲν φύλαξον, τὸ δὲ συλλείωσον τῷ συνθέματι, ἡμέρας κα΄, κατάχωσον ἐν ἱππείᾳ κόπρῳ, ἀνὰ ἑπτὰ ἡμέρας παραλλάσσων τὸν τόπον. Τέταρτος τάφος, καῦσις δὲ τρίτη πέλει.[760]

6. Πάλιν μετὰ τὴν ἐμπροθέσμον κα΄ ἡμέρας λαβὼν τὸ

753. Réd. de E : καὶ οὗτός ἐστιν ὁ δ. τ. καὶ καῦσις πρώτη.
754. τὴν ἐμπρόθ. ἡμέραν E. — ἐκ τὴν κόπρον A. On trouve dans les papyrus du Louvre, p. 334, ἐξ Ἡρακλεούπολειν et dans nos textes, 1, 5, 1 : ἐξ αὐτὸν, que nous avons cru devoir corriger en ἐξ αὐτοῦ. Cp. 5, 1, 18.
755. F. l. μαρμαρῷ (ici et plus bas).
756. θὲς ἐν ἄμβικι E. — τὰ ὕδατα E, ici et partout.
757. Réd. de E : καὶ οὗτός ἐστιν ὁ τρίτος τάφος καὶ καῦσις δευτέρα.
758. τὸ καταχ. — ἡμερῶν om. E. — τὸ] F. l. καὶ.
759. ἄμβικι E, ici et partout.
760. Réd. de E : καὶ οὗτός ἐστι τέτ. τάφος, καὶ καῦσις τρίτη.

σύνθεμα,[761] λείωσον μετὰ τοῦ φυλαχθέντος ὕδατος ἡμέρας ζ′, ὡς καὶ πρότερον, καὶ ἀνάσπα ὕδωρ δι’ ἄμβικος, καὶ τὸ μὲν πρῶτον φύλαξον, τὸ δὲ δεύτερον[762] συλλείωσον τῷ συνθέματι, κατάχωσον ἡμέρας κα′, ἀνὰ ἑπτὰ ἡμέρας[763] παραλλάσσων τὴν κόπρον. Πέμπτος τάφος πέφυκε καῦσις τετάρτη.[764]

7. Καὶ μετὰ τὴν κα′ ἡμέραν, ἐξελὼν, λειοτρίβησον μετὰ τοῦ φυλαχθέντος ὕδατος · καὶ θὲς ἐν ἄμβιξι, ἀνάσπα ὕδατα · καὶ τὸ μὲν φύλαξον, τὸ δὲ συλλείωσον, καὶ θάψον κα′ ἡμέρας. Ἕκτος τάφος[765] βέλτιστος, καῦσις δὲ πέμτη.[766]

8. Εἶτα λαβὼν ἐκ τῆς φθορᾶς τὸ ἄφθαρτον, λείωσον τῷ φυλαχθέντι ὕδατι καὶ ἀνάσπα ὕδατα · καὶ τὸ μὲν φύλαξον, τὸ δὲ συλλειοτρίβησον, ὡς ἀνωτέρω, καὶ θάψον κα′ ἡμέρας. Ἕβδομος τάφος < ἐστὶ > καὶ καῦσις ἕκτη.[767]

9. Τελευταῖον ἐκβαλὼν τὸ σύνθεμα ἀπὸ τοῦ ἄγγους λειοτρίβησον[768] ἡμέρας ζ′ μετὰ τοῦ φυλαχθέντος ὕδατος · καὶ λαβὼν τὸ σύνθεμα,[769] πότισον αὐτὸ λειοτριβῶν ἐν μαρμάρῳ

761. κα′ ἡμέρας] εἰκοστὴν καὶ μίαν ἡμέραν E, f. mel.
762. τὸ ὕδωρ E.
763. καὶ πάλιν κατάχ. E.
764. τὴν κόπρον] τόν τόπον E.
765. Réd. de E : καὶ οὗτός ἐστιν ὁ ΣΤ′ τάφος, καὶ καῦσις ε′ (καῦσις δὲ πέμπτη Lc).
766. F. l. βέλτιστε (préférable pour le sens et pour le mètre).
767. ἕβδομος] ἔυδομος A (indice d’un original du 10e au 12e siècle). Réd. de E : καὶ οὗτός ἐστιν ὁ ἕβδομος τάφος, καὶ καῦσις ἕκτη.
768. ἔκβαλον A ; ἔκβαλε E. Corr. conj. — ἀπὸ τῆς ἄγγου A ; om. E.
769. Réd. de E Lc : μετὰ τοῦ φυλ. ὕδ. ἐν μαρμάρῳ καὶ πότιζε αὐτὸ πᾶσι τοῖς ὕδασι ἕως οὗ πίῃ πάντα τὰ ὕδατα · εἶτα φυγὲν ἐν ἡλ. αἰθάλωσον αὐτὸ καὶ ἔχε. Καὶ οὗτός ἐστιν ὁ ὄγδοος τάφος, καὶ καῦσις ἑβδόμη. Puis dans E seul : τέλος.

πάντα τὰ ὕδατα ἡμέρας τόσας[770] δέοι ἵνα πίῃ τὰ ὕδατα τὸ σύνθεμα, καὶ ψυγὲν ἐν ἡλίῳ, καὶ μετὰ τούτου αἰθάλωσον, καὶ ἔχε πνεῦμα. Ὄγδοος τάφος (f. 231 v.) ἑβδομὴ[771] καὶ ἡ καῦσις.

✴
✴✴

1.1.24 4. — 24. Pour Blanchir (le Cuivre).[772]

Transcrit sur A, f. 231 v. (*Suite du texte précédent, sans séparation.*)

1. ΩΣΤΕ ΛΕΥΚΑΝΑΙ. — Λαβὼν ἀρσενίκην χρυσίζον, φολίατον, μίξον μετὰ ἅλατος ἴσου, τρίψον ἐν ἰγδίῳ καλῶς, θὲς ἐν μαρμάρῳ καὶ τρίβε μετὰ ὄξους, ὥσπερ χρῶα δῆ τῶν ζωγράφων, καὶ βάλε εἰς[773] τὸν ἥλιον ἀναξηραίνεσθαι. Καὶ πάλιν τρίβε μετὰ ὄξους · τοῦτο ποίησον ἡμέρας γ′. Ἔπειτα λαβὼν ἄγγος νέον πυρίμαχον, ἐν τούτῳ αὐτὸ γεγεννημένον καὶ βεβαμμένον θὲς τὸ σύνθεμα ἀπέσω (?), καὶ περιχρίσας[774] τὰς ἁρμογὰς ὥστε μὴ ἐκπνεῦσαι · τοῦτο γὰρ

770. τόσας] F. l. ὅσας.
771. τούτου] F. l. τοῦτο. — ὄγδοος] εὔδομος A. — ἑβδόμη] ἑυδομικὴ A.
772. F. suppl. ὥστε λευκάναι < τὸν χαλκόν. > Lc a écrit puis biffé ὥστε λευκάναι, et continué comme E, qui donne ici le morceau intitulé χρυσοῦ ποίησις (ci-après. 5, 21) placé dans A à la suite du présent article. — F. l. ἀρσενίκιν.
773. F. l. χροιᾷ τῇ.
774. ἀπέσω] C'est peut-être un synonyme inconnu de ἔσωθεν.

ἀπολέσει πᾶσαν βαφήν. Αἰθάλωσον ἀκριβῶς ὥστε μὴ ἀπομεῖναί τινα μελανίαν. Πάλιν βαλὼν ἐν μαρμάρῳ, τρίβε μετὰ ὄξους, καὶ πάλιν αἰθάλωσον. Εἶτα λαβὼν χαλκὸν ἐρυθρὸν καλὸν, ποίησον λάμνας πλατείας καὶ λεπτάς · θερμάνας, καταβάπτων εἰς ὄξος φορὰς δύο, ἔπειτα χωνεύσας αὐτὸν τρὶς, ἐπίρριψον εἰς τὴν ἄγγαν τοῦ χαλκοῦ κεράτια δ′, καὶ ἴδῃς[775] γενόμενον λευκόν.

2. Βάλλεται ἓν ἑξάγιον εἰς χιλίας χιλιάδας βάρος καθαρὸν, ἤγουν[776] θείας, διὰ γοῦν τὸ βάρος βούλεται ἓν εἰς χιλιάδα, καὶ ἐκ τῶν χιλίων[777] πάλιν ἓν εἰς ἕν. Ἔν τισι γέγραπται ἐῶ (?) καὶ ἀληθέστερον εἶναι δοκεῖ[778] ὅτι θεῖον ὄξος καὶ ὁ ἀὴρ, ἢ ἐκ τῆς ἐργασίας ἀπολειφθέντος ἰσάκις[779] βάλλονται ἐν τῇ κολωκήνθῃ, καὶ διοργανίζονται, ἵνα κάλλιον λαμπρυνθῶσιν[780] · καὶ οὕτως μετ' αὐτῶν λειοτρίβεται τὸ σύνθεμα τῇ ἡ[781] ὑστέρα φορὰ, καὶ τελειοῦται.

✶

✶✶

775. τρὶς] τρίτον A.
776. ξάγιον A.
777. βάλεται corrigée en βούλεται A.
778. ἓν εἰς ὅν] F. l. α′ εἰς ᾱ. — ἔν τισι] ἐν τῇ σοι A.
779. ᾗ] ἡ A. — F. l. ἀπολειφθέντα.
780. F. l. κολοκύνθῃ.
781. F. l. λειοτριβεῖται. — F. l. τῇ ὑστέρᾳ φορᾷ.

1.2 Cinquième Partie. — Traités Techniques.

1.2.1 5. — 1. ΠΕΡΙ ΤΗΣ ΤΙΜΙΩΤΑΤΗΣ ΚΑΙ ΠΟΛΥΦΗΜΟΥ ΧΡΥΣΟΧΟΙΚΗΣ.

Transcrit sur A, f. 280 r., *seul manuscrit connu.* (*Quelques articles dans* Laur.). — *Sauf indication spéciale, toutes les leçons rejetées en note sont celles du ms., remplacées dans le texte par des corrections conjecturales.*

1. ΠΕΡΙ ΤΟΥ ΛΑΓΑΡΙΣΑΙ ΤΟ ΧΡΥΣΙΟΝ. — Λαβὼν ἄλας θαλάσσιον,[782] θὲς εἰς τρυγίαν στερρὸν καὶ φίμωσον αὐτὸν ἄνωθεν, καὶ θὲς ἐντὸς[783] πύραν ἕως οὗ να κάῃ · καὶ θὲς καμπανοῦ ἅλας β′ μέρη κεκοσκινισμένον,[784] καὶ κεραμίδην (f. 280 v.) κεκοσκινισμένον τὸ τρίτον, καὶ[785] βαλὼν εἰς β′ γαστρία, πάτον ἅλας καὶ πάτον χρυσάφην, ἵνα ἔνῃ[786] σφυρισμένον ὥσπερ λέπος καὶ να ἔνῃ κεχρησμένον γύρωθεν μετὰ πηλοῦ[787] τῆς σοφίας. Καὶ ἔκτοτε βάλε αὐτὸ εἰς τὸ φουρνέλλον, ὥστε να ψηθῇ.[788] Τὸ δὲ φουρνέλλον ἐστὶ ταῦτα. Λαβὼν χύτραν, τρύπησον μέσον εἰς τὰ πλάγια σταυροειδῶς, καὶ βάλε β′ σίδηρα, καὶ θὲς τὰ γάστρια μετὰ τὸ

782. Presque tous les titres sont écrits en rubrique. — Ce morceau est rédigé en grec byzantin.
783. στερὸν.
784. F. l. πυρὰν (ici et presque partout). — νακαϊ.
785. τὸ τρίτον] F. l. τρίς ?
786. χρυσαφὴν] Lire χρυσάφιν, et, généralement, ιν, forme byantine, là où la finale ην appartient à un mot neutre.
787. ἔνῃ] ἔναι.
788. φούρνελον, ici et presque partout. — ψειθῆ.

χρυσίον εἰς τοῦ σταυροῦ τὴν μέσην, καὶ ποίησον εἰς τῆς χύτρας τὸν πάτον ὀπὴν, ἵνα ἐξεβαίνῃ ἡ τέφρα. Καὶ ἔκτοτε ἔμπλησον κάρβουνα,[789] καὶ ἀγωνίζου ἵνα ψήνηται τὸ χρυσίον · ἡ δὲ ἔνει τὸ χρυσίον κέντρον,[790] πάλιν ἐπὶ τὴν αὔριον μάλαξον τὸ κεραμίδιν μετὰ ἅλας, καὶ πάλιν ἂς ψείνεται ἕως ὥρας.[791]

2. ΕΙΣ ΤΟ ΛΑΓΑΡΙΣΑΙ ΑΡΓΥΡΟΝ. — Ποίησον χωνὶ μετὰ τέφρας καὶ κεράμου κοσκινισμένου, καὶ θὲς ἄσημον λίτραν α΄ ἐν τῷ χωνίῳ · καὶ κατάκοψον λίτραν μόλιβδον, κάὶ βάλε ἐν τῷ χωνίῳ ὀλίγον, καὶ ἂς βράζει ἕως οὗ ψυχρανθῶσιν ἐφ' ἑαυτοῖς · καὶ ἔκτοτε ποίησον[792] ἑτέραν χώνην καινὴν ἐν τῇ γῇ, καὶ θὲς τὸν ἄσημον πάλιν μέσον[793] ὥστε να ψυχρανθοῦν ἐφ' ἑαυτοῖς βράζωντες · εἶθ' οὕτως ἄρον αὐτὸ,[794] καὶ θὲς ἐν χωνίῳ, καὶ λύσον αὐτὸ ἐν πυρὶ, καὶ χύσον ὡς θέλεις.

3. ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΧΡΥΣΩΜΑΤΟΣ. — Λαβὼν χρυσίον ἐξάγιον α΄, σφύρισον αὐτὸ ἄκμονι ὥσπερ λεπτὸν, καὶ κατάκοψον, καὶ θὲς ἐν τῷ[795] χωνίῳ ἐν τῇ πύρᾳ ὥστε ἐρυθριάσῃ. Καὶ τότε βάλλων μέσον τοῦ χρυσίου να ποιήσῃ ὥρᾳ πατὲρ ἡμῶν. Καὶ βάλλων διάργυρον ἐν τῷ χωνίῳ, καὶ μίξον, καὶ

789. ἐξειβαίνη. — ἔπλησον.
790. Ψήνηται] Forme altérée de ψαίνυμι ? — ἡ] F. l. εἰ.
791. F. suppl. ἕως ὥρας < πατὲρ ἡμῶν > Cp. plus loin, notamment § 30.
792. ἀσβράζει, forme byzantine de l'impératif de βράζω. — Dans le manuscrit, ἂς, να et με sont toujours dépourvus d'accent et adjoints au mot qui les suit.
793. ἀφ' ἑαυτοῖς.
794. αὐτῶ.
795. σφήρισον.

ἄρον ἀπὸ τοῦ πυρός · καὶ βαλὼν ὕδωρ εἰς χηβάδιν, καὶ ἄρον αὐτὸ, καὶ πλύνον καλῶς ἐν τῇ χειρί σου. Καὶ βαλὼν ὑδράργυρον ἕτερον, θὲς αὐτὸ εἰς τὸ ὕδωρ τοῦ κογχυλίου, καὶ[796] διαργύρωσον τὸν ἄσημον καὶ μετὰ νεραντζίου. Καὶ τότε χρύσωσαι[797] αὐτὸ με τὸ χρυσωτήριον. Καὶ βαλὼν αὐτὸ ἐν τῇ πύρᾳ, ἄρον αὐτὸ καὶ τρίψον (f. 281 r.) μετὰ βρούτζον χοιρείαν. Καὶ πάλιν βαλὼν αὐτὸ ἐν τῇ πύρᾳ κατὰ ε′ καὶ ΣΤ′ φόρας, καὶ ὅταν ἴδῃς τὴν χρόαν[798] ὅτι ἐξεβαίνει, πύρωσον πλέον, καὶ θὲς τῷ ὕδατι · εἶθ’ οὕτως σθλίβωσον[799] αὐτὸ, καὶ πάλιν πυρώσας. θὲς ἐν τῷ ὕδατι.

4. ΧΡΥΣΟΜΑΝ ΑΛΛΟΝ ΚΛΑΠΩΤΟΝ. — Χύσον ἄργυρον εἰς ῥιγλοχύτην, ἵνα ἔνει λαγαρισμένον ἐπταπλασίονα · εἶθ’ οὕτως πύρωσον αὐτὸ εἰς[800] τὸν σύρτην εἰς πᾶσαν φορὰν β′ ἢ γ′. Εἶθ’ οὕτως ῥίνισον αὐτὸ με[801] ῥινάριν δαμασκηνὸν ψιλὸν, καὶ κοπάνισον τὸ χρυσάφην λεπτὸν, ἵνα[802] ἔνῃ μάλαγμα. Εἶτα θὲς τὸ πέταλον ἐπάνω εἰς τὸν ἄσημον · καὶ τυλίξας[803] αὐτὸ μετὰ ῥαμματίου, καὶ θὲς ἐν τῇ πύρᾳ ὥστε ἐρυθριᾶν. Καὶ ἄρον[804] αὐτὸ ἐκ τοῦ πυρὸς · καὶ σθλίβωσον αὐτὸ μετὰ ἐλιάκονον · καὶ ὅπου λείπει[805] χρυσάφην, θὲς

796. βαλὼν] F. l. λαβὼν.
797. χρύσοσε.
798. χρείαν.
799. ἐξεβένη, presque partout.
800. λαγαρισμένον]. Le néogrec supprime le redoublement du parfait. — αὐτῶ.
801. σήρτην. — β′ ἢ γ′] F. l. δὶς ἢ τρίς.
802. ψιλὸν] ὑψηλὸν, ici et partout.
803. τί λύξας.
804. ῥαματίου. — ἐρυθρίαν.
805. ἐλιάκονον] A rapprocher de ἐλαιοκονία ? —- ὅπου λίπη.

με τὸ ἀκόνην. Καὶ πάλιν θὲς μέσον τοῦ πυρὸς, καὶ ἄρον, σθλίβωσον κατὰ γ′ φοράς · καὶ ἔκτοτε σύρε νέμαν ἐν τῷ συρταρίῳ. [806]

5. ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΗΝ ΕΓΚΟΨΙΝ. — < Λαβὼν > ἄσημον λαγαρισμένον [807] μέρη β′, βαλὼν αὐτὰ εἰς χωνὴν ἔσω ἐν τῷ πυρὶ, καὶ ἀνάδευσον τὸ χωνίον μετὰ ποδῶν προβάτου, καὶ να θέσῃς τὴν τεάφην ἐκείνην τὴν εἰσω ζυγισμένην πρὸς ὀλίγον ὀλίγην, ὥστε να ἐξέβη ὁ ἀτμός · καὶ τότε βάλε εἰς τὸ χωνίον · τρίψον τεάφην ἑτέραν εἰς ἕτερον χωνίον, καὶ πώμασον καλῶς ἕως τὴν μέσην · καὶ χύσον αὐτὰ μέσον, καὶ τότε τρίψον ἐν τῇ ἀκμώνῃ · καὶ θὲς ἐν τῇ κογχύλῃ, καὶ πλύνον καλῶς. Εἶθ' οὕτως βάλε ὕελον βραχὺ εἰς ἀγγεῖον μολυβδοῦν, ἵνα βράσῃ. [808] Ἔπειτα ῥίψον εἰς ἕτερον ἀγγεῖον, εἶτα εἰς τὸ γλυψημένον τοῦ ἀργυρίου [809] ἢ τοῦ χρυσαφίου μετὰ σαπουνίου καὶ με τζαπαρικόν · καὶ θὲς ἐν τῇ πύρᾳ, καὶ ἔκβαλον αὐτὸ ἐκ τοῦ πυρὸς, ῥίνισον με κίσσηριν, καὶ σθλίβωσον [810] μετὰ κάλαμον, καὶ με κάρβουνον ὕστερον καὶ με σηπόγαστρον.

6. ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΣΜΑΡΔΟΥ. — Τρίψον λεπτὰ τὸν σμάρδον ἐν τῇ [811] ἀ- (f. 281 v.) κμώνῃ, καὶ θὲς εἰς κογχύλην · καὶ πλύνον καλῶς. Εἶτα βάλε ἐν τῷ γλύμματι · θὲς αὐτὸ

806. σήρε. — F. l. νέμαν (pour νέμα). — σηρταρίω.
807. ἔγκαψην.
808. μόλιβδον.
809. F. l. γλυφθησόμενον.
810. F. l. ἐκβαλὼν.
811. σμάρδου et, à l'encre noire αγ au-dessus de αρ. — σμάρδον] même surcharge, de 1re main comme l'autre. Corr. conj. (*M. B.*).

ἐν τῇ πύρᾳ ἐν φουρνελλίῳ σιδηροῦν[812] καθὼς καὶ τὴν ἔγκοψιν ἐν φουρνελλίῳ · ἔστω δὲ τὸ φουρνέλλιον[813] σιδηροῦν πέταλον καμαροειδῶς καὶ κοσκινοειδῶς τετρημένον · καὶ ἔνεγκον αὐτὸ, τρίψον, ὥστε ἴδῃς τὸν ἄσημον μεσμιρεῖν μετὰ μολίβδου[814] ἐν ξύλῳ. Καὶ πάλιν θὲς ἐν τῇ πύρᾳ εἰς τὸ φουρνελλίῳ, να κινήσῃ[815] δεύτερον ὁ σμάρδος.

7. ΕΡΜΗΝΕΙΑ ΤΟΥ ΣΑΠΟΥΝΙΟΥ. — Τρίψον ἅλας, καὶ μίξον ὄξει σάπωνον. Λείωσον καλῶς, καὶ θὲς ἐν τῇ πύρᾳ, ὥστε να καῇ εἰς τρυγείαν[816] στερρόν · καὶ πάλιν θὲς τρυγείαν ἐν τῇ πύρᾳ ἂς καῇ καλῶς. Εἶτα ζύγισον αὐτὸ, καὶ θὲς μέρη β΄ τρυγείαν κεκαυμένην καὶ ἓν ἅλας θαλάσσιον · καὶ βαλὼν αὐτὸ εἰς κογχύλην, λείωσον αὐτὸ μεθ’ ὕδατος, καὶ σαπούνισον τὸν ἄσημον.[817]

8. ΕΡΜΗΝΕΙΑ ΕΤΕΡΟΥ ΣΑΠΟΥΝΙΟΥ. — Λαβὼν σαπούνην, λείωσον[818] καλῶς μετὰ ἅλατος πολλοῦ. Εἶτα θὲς ἐν τῷ πυρὶ εἰς τρυγείαν στερρὸν, καὶ ἀνάδευσον ὥστε να καῇ, οὐχὶ τελεία, ἀλλ’ ὥστε ἐν ἀγγείῳ ἄλλῳ λάμψει μέσον. Καὶ ἔκτοτε ἄρον αὐτὸ, καὶ τρίψας, λείωσον μεθ’ ὕδατος, καὶ σαπούνισον. Εἶτα θὲς εἰς ὕελον βοράχην παράνωθεν.

Ἄλλοι δὲ σαπωνίζουν μόνον μετὰ ὕελον εἰς ψιλὴν δουλείαν · εἰς χρυσάφην ἐὰν τὸ ἔχουσιν.

812. γλύματι. — φουρνελίω ici et partout.
813. καθὼς] F. l. κατθεὶς. — F. l. εἰς τόδε τὸ φ.
814. F. l. ἐνεγκὼν.
815. σμάρδος] σμάραγδος. Corr. conj. (*M. B.*).
816. καὶ, presque partout.
817. σαπούνησον.
818. F. l. σαπούνιν, ici et plus loin.

9. ΕΡΜΗΝΕΙΑ ΤΗΣ ΒΑΣΙΛΙΚΗΣ ΚΟΛΛΗΣΕΩΣ. — Λαβὼν χρυσάφην μέρη γ΄ καὶ τὸ τέταρτον μέρος ἀσήμην ἀπὸ παλαιὰ σολδία · καὶ χύσον[819] αὐτὸ εἰς ῥυγλωχύτην, καὶ ἐὰν ἕνη ψιλὴ ἡ δουλεία, ποίησον τὸ ῥίνισμα · εἰ δὲ ἔστι χονδρὰ ἡ δουλεία, ποίησον τὸ πέταλον, καὶ κόλλησον μετὰ πανίου καμίνου μέρη β΄, καὶ μετὰ ὕελον βοράχην τὸ τρίτον.[820]

10. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΙΚΗΣ ΚΟΛΛΗΣΕΩΣ ΤΗΣ ΑΡΓΥΡΗΣ. — Λαβὼν ἀσήμην, σολδία παλαιὰ ΣΤ$^{\text{υ}}$ γ΄ χάλκομαν κόκκινον ἐξάγ. α΄ · μίξον αὐτὰ εἰς χωνίον ἐν τῷ πυρί · καὶ χύσον αὐτὰ εἰς ῥυγλοχύτην · καὶ ἀνέχεις[821] ψιλὴν δουλείαν, ποίησαι τὸ ῥίνισμα, καὶ κόλλησον · εἰς δὲ χονδρὰν,[822] ποίησαι τὸ πέταλον, καὶ κόλλησαι με σαπούνιον.

Ἄλλοι δὲ θέτουν γ΄ μέρη ἀσήμην, καὶ α΄ χάλκομαν.

11. ΑΛΛΗ ΕΡΜΗΝΕΙΑ ΤΗΣ ΑΡΓΥΡΟΚΟΛΛΗΣΕΩΣ. — Λαβὼν ἀσήμην ἐξάγια γ΄, οἷον ἀσήμην θέλῃς ποιῆσαι · καὶ χάλκομαν ΣΤ$^{\text{υ}}$ β΄ · θές τα εἰς[823] χωνίον ἐν τῷ πυρὶ, ὥστε να λυθοῦν. Καὶ ἔκτοτε ἔπαρον κασσίτερον ΣΤ$^{\text{υ}}$ α΄ · καὶ θὲς μέσον εἰς τὸ χωνίον, καὶ ἀνάδευσον, καὶ χύσον εἰς πανὴν ἐπάνω, καὶ πλάκωσον με μάρμαρον. Ἔπειτα τρίψον ἐν τῷ ἀκμώνῃ, καὶ σαπούνισον, καὶ κόλλησον.[824]

12. ΕΤΕΡΑ ΚΟΛΛΗΣΙΣ ΤΑΧΥΤΑΤΗ, Η ΑΛΑΜΑΡΣΑ.

819. A mg. : χρυσόκολλαν.
820. F. l. καυμένου (*M. B.*).
821. F. l. καὶ ἂν ἔχῃς.
822. F. l. εἰ δὲ.
823. Lire χάλκωμα., et ainsi des autres mots neutres en αν.
824. F. l. ἄκμονι.

— Λαβὼν χάλκομαν[825] κόκκινον καὶ ποντικοφάρμακον κόκκινον ὅσον τὰ β′, καὶ τρυγίαν οἴνου οὐχὶ τόσον · θὲς πάντων τὰ εἴδη, καὶ πάτον τὸ χάλκομαν, καὶ τὸ[826] ποντικοφάρμακον, καὶ τὴν τρυγίαν · τρίψον εἰς μάρμαρον, καὶ φίμωσον τὸ χωνίον ταυλοειδῶς, ἢ ποίησον μίαν ὀπὴν εἰς τὴν μέσην. Ἔστω δὲ λεπτότατον κεκομμένον τὸ χάλκομαν. Ἔστω δὲ ἡ ὀπὴ μικρὰ ὥσπερ σουβλίου ἄνωθεν ἵνα ἐξεβαίνῃ ὁ καπνός. Ἔπειτα ἄρας, χύσον εἰς ῥυγλωχύτην[827] · καὶ ὅταν θέλῃς να κολλήσῃς, θὲς ἀπὸ τὸ χάλκομαν τῶν εἰδῶν τὸ δ^{ον} μέρος, καὶ ἀπετὸ ἀσήμην τὸ ποιεῖς τὰ γ′ μέρη · καὶ θὲς εἰς[828] χωνίον ἵνα λυθῶσιν, καὶ χύσον εἰς ῥυγλωχύτην καὶ ποίησον τὸ ῥίνισμαν · καὶ ὅταν θέλῃς κολλῆσαι, σαπούνισον, καὶ θὲς τὸ ῥίνισμαν.

13. ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΠΟΙΗΣΑΙ ΧΡΟΑΝ ΧΡΥΣΑΦΙΟΥ.[829] — (f. 282 v.) Λαβὼν τὴν λεγομένην ὤχραν, θὲς ἐν τῷ πυρὶ ὡς ὅτε ἐρυθριᾷ[830] · καὶ ἔκτοτε ἄρον, καὶ λείωσον ἐν ὕδατι μετὰ τζαπαρικοῦ, καὶ χρίσον τὸ χρυσάφην, καὶ θὲς αὐτὸ ἐν πυρὶ, καὶ γύριζε ὥστε να καπνισθῇ < καὶ > να ἔλθῃ ἡ χρόα · καὶ θὲς αὐτὸ ἐν ὕδατι.

14. ΕΙΣ ΤΟ ΠΟΙΗΣΑΙ ΧΡΟΑΝ ΕΝ ΑΡΓΥΡΩ ΣΚΕΥΕΙ · ΧΡΥΣΟΜΑΝ. — Τρίψον τεάφην καὶ σκόρδον καὶ τρυγίαν ὁμοίως · καὶ θὲς αὐτὰ εἰς τρυγίαν στερρὸν με οὖρος καὶ

825. κολλήσει. — ἀλαμάρσα.
826. πάντων] F. l. πάτον. Cp. § 1.
827. ἐξευένη.
828. ἀπετὸ] F. l. ἀπὸ τὸ. — F. l. ποιεῖς τὸ γον μέρος.
829. χρώα, ici et partout.
830. ὡς ὅτι ἐρυθρία.

ἅλας, ἵνα βράσῃ ἐν τῷ πυρί · καὶ θὲς τὸ[831] ἔργον μέσον ὥραν πατὲρ ἡμῶν, καὶ ἄρον αὐτὸ, καὶ θὲς ἐν ὕδατι ψυχρῷ.[832] Ταῦτα ποίει ἀπὸ ε′ καὶ ΣΤ′ φορὰς, ὥστε να βαθύνῃ ἡ χρόα τοῦ χρυσώματος. Εἰς τὴν ἔγκαυσιν λείωσον ἀπὸ σολδία παλαιὰ μέρη γ′ καὶ τὸ δ^{ον} μέρος μολίβδου,[833] καὶ θὲς καὶ εἰς χωνὴν, καὶ χύσον εἰς τεάφην περισσὸν, καὶ σκέπασον.

15. ΕΙΣ ΤΟ ΓΑΝΩΣΑΙ ΑΡΓΥΡΟΝ. — Λαβὼν τζαπαρικὸν καὶ ἰάρην, λειώσας ἐν ὄξει, χρίσον τὸν ἄσημον εἰς τὸν ἥλιον, καὶ μελανίζει εὐθὺς, εἰ δὲ οὐκ εἰσὶν ταῦτα, κάπνισον τὸν ἄσημον μετὰ δᾳδίου.

16. ΣΗΜΕΙΩΣΙΣ. — Τὸν χαλκὸν λευκαίνει ἡ ἀστριοψιακὴ, καὶ[834] ἀρνογλώσσου ὁ ζωμὸς, ἤγουν τοῦ πεντανεύρου · λευκαίνει καὶ γλυκαίνει τὸν ἄργυρον τὸ σαλονίτριον. Κίνα τὸν ἄργυρον εἰς τὸ χώνην[835] εἰς τὸ χύμα · καὶ τὸ σαπούνην τῆς τρυγίας ξηρὸν κίνα εἰς τὸ χύμα, καὶ τὸ τζαπαρικὸν γλυκαίνει τὸν ἄργυρον εἰς τὸ χωνήν.

17. ΜΥΣΤΙΚΟΝ. — Βάλε ἀρτζέντο καὶ ὀλίγον ἰάρην, καὶ ἀσένῃ[836] τὸ ἀρτζέντο ὅσον χρῄζεις, καὶ τρίψον ἀμφότερα, καὶ βάλε εἰς τὸ χωνὴν, θέλῃς εἰς κασσίτερον, θέλῃς εἰς χάλκομαν, καὶ γίνεται ἀληθινὸν μάλαγμαν.

18. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΦΟΥΡΜΑΣ. — Ποιη- (f.

831. στερὼν.
832. ἡμῶν] ἡμοῦ.
833. ἔγκαψην. Introduire la même corr. conj. p. 323, l. 7 et 22.
834. Titre en noir avec initiale en rubrique.
835. κίνα] F. l. κίνει (ici et plus loin). (ει et α sont presque semblables du 10^{e} au 12^{e} siècle, indice probable de l'âge de ces textes.)
836. ἀσένει, pour ἂς ἔνῃ.

283 r.) σον χύμαν ἐκ τὰ μέταλλα ἡ ἀλκίμην · καὶ χύσον αὐτὰ εἰς τόπον τυπαρίου[837] · καὶ ἴσασον τὸν τόπον ἤγουν τὸ κεφάλην τοῦ τυπαρίου καλῶς, εἴτε με ῥινὴν, εἴτε διὰ τοῦ τροχοῦ. Καὶ κατάπλασαι τὸ κεφάλην ἐκεῖνον ἔνθα μέλλεις ποιῆσαι τὸ τυπάριν με κερὴν λεπτὸν, καὶ ποίησον στεφάνην[838] ἀπὸ κερὴν, καὶ θὲς γύρωθεν, ἵνα δέχεται ὕδωρ μέσα. Τότε ἔπαρον ψιλὸν σουβλίον, καὶ σημείωσον τὰ σημεῖα τοῦ τυπαρίου ὅλα ἐπάνω εἰς τὸ κερὴν ἐκεῖνον, ὥσπερ γράμματα, ὥστε να φθάσῃ τὸ[839] σουβλίον εἰς τὸ τυπάριν. Τότε τρίψον τὸ ἀρτζέντο καὶ τὸ ἰάρην εἰς ὕδωρ ἀπὸ λεμόνην, καὶ χύσαι τὸ ἐπάνω εἰς τὸ τυπάριν ἐπάνω εἰς[840] τὰ γράμματα, εἰς τὴν ἀποτύπωσιν τοῦ ὁλοκοτίνου γύρωθεν καλοῦ,[841] < ἵνα > μὴ δράμῃ ἔξωθεν. Καὶ εἰ μὲν θέλεις να τὸ ποιήσῃς βαθὺ, τήρα[842] να σταθῇ ὅλην νύκτα · εἰ δὲ θέλεις να μηδὲν γένῃ βαθὺ, ἀστέκεται[843] ἕως τὸ μεσημέρην. Καὶ ἐξελὼν, εὑρήσεις τετυπωμένον τὸ τυπάριν[844] χρησίμως χρησίμως γὰρ αὐτὸ κόπτει τὸ ἀρκέτιον τὸ ἄλκιμον.

19. ΠΕΡΙ ΧΡΥΣΟΓΡΑΜΜΙΑΣ ΕΤΕΡΟΝ. — Τρίψον

837. F. l. ἢ ἀλκ.
838. μέλεις.
839. κερὴν, aujourd'hui κερί.
840. χύσε.
841. F. l. καλῶς.
842. δράμι. — βαθὴν, ici et plus loin. — F. l. τήρει. (Voir la note sur la ligne 5.).
843. ἀστέκεται] F. l. ἂς στέκηται. (Cp. Du Cange, Glossar. v. στέκω.).
844. ἔξελον.

βῶλον ὥσπερ κιννάβαριν[845] · ἔπειτα ἔπαρον τοῦ ὠοῦ τὸ λευκὸν, καὶ θὲς εἰς ἀγγεῖον · καὶ βαλὼν ὕδωρ, τάραξον καλῶς, καὶ ἐξάφρισον ἕως ὅτε να ἐαγῇ ὁ ἀφρὸς ὅλος. Ἔπειτα βαλὼν ἀπὸ τὸ ὕδωρ τοῦ ὠοῦ, καὶ μίξον με τὸν βῶλον. Εἶθ' οὕτως θὲς ὅπου χρῄζεις, καὶ ἀφ' ὅτου ξηρανθῇ, θὲς πάλιν ἐπάνω εἰς τὸν βῶλον ἀπὸ τοῦ ὠοῦ τὸ λοιπόν · καὶ θέτε < εἰς > τὸν ἀέρα τὸν χρυσὸν, καὶ ἀφ' ὅτου ξηρανθῇ, ἐπάνω, τρίβε καὶ σθλίβονε[846] (f. 283 v.) με τὸ παρακόνην.

20. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΧΡΥΣΑ ΚΕΦΑΛΑΙΑ ΕΝ ΒΙΒΛΟΙΣ. — Λάβε χρυσάφην καθαρὸν καὶ λέπτινον, καὶ ἀνάμιξον μετὰ ἀργυρίου, < θὲς > ἐν πυρὶ εἰς τὸ χωνήν. Εἶτα βάλε τιάφην, καὶ ἀνάμιξον μετ' αὐτοῦ ἐπὶ μάρμαρον πορφυροῦν · καὶ τρίψον αὐτὰ ὅσον σοι δυνατὸν ἵνα γένηται ὥσπερ πασπάλη · καὶ θὲς αὐτὰ εἰς πινάκην ἀγάνωτον πήλινον · καὶ θὲς αὐτὰ ἐν πυρὶ μαλθακῷ, καὶ σκέπασον μετὰ ὀστράκου[847] καθαροῦ · καὶ ἐπιμελήθητι ἵνα ἐκκαῇ ἕως οὗ ἐρυθριάσῃ. Ἔπειτα ψυχρανθήτω ἐν μαρμάρῳ πορφυρῷ, καὶ τρίψον μετὰ ὕδατος πολλοῦ[848] καὶ μικροῦ σπογγαρίου · καὶ σύναξον αὐτὰ, καὶ βάλε εἰς ἀγγεῖον καθαρόν · καὶ ἔα αὐτὸ ὀλίγον, ἕως οὗ να καθαρίσῃ κάτω · καὶ ῥίψας τὸ[849] ὕδωρ, πάλιν πλύνον αὐτὸ ἕως οὗ καθαρισθῇ ἀπὸ τῆς ὕλης · καὶ ὅταν θέλῃς, γράψεις.

845. Les §§ 19, 20 et 21 sont dans Montfaucon, *Pal.*, p. 5-7 et dans Fabricius, *Bibl. gr.* 12, p. 772. Cp. Gardthausen, *gr. Pal.*, p. 85.
846. A la mg. sup. du ms. : διήγησις, de 1re main.
847. μαλθακὸν.
848. πορφυροῦν.
849. ῥίξας.

Βάλε ἀφ' ἑσπέρας κομίδιν μεθ' ὕδατος, καὶ σύγκαυσον μετὰ χρυσαφίου · εἶτα γράψον πρῶτον τὰ κεφάλαια · εἶτα θές τι ἕτερον μετὰ ὤχρας ἀναμιγμένα μετὰ τοῦ κομιδίου ἢ λαγχάνη μετὰ κινναβάρεως · ἐπάνω δὲ αὐτῶν τῶν κεφαλαίων γράφε μετὰ ζωγραφικοῦ κονδυλίου ὡς[850] ἔθος ἐστὶν τῶν κονδυλίων, καὶ ἀποτέλει τὰ χρυσᾶ.

21. ΠΕΡΙ ΤΟΥ ΧΡΥΣΩΣΑΙ ΖΩΑ ΕΙΣ ΚΟΠΑΝ Η ΚΛΑΔΗΝ Η ΑΛΛΟΝ ΕΤΕΡΟΝ ΚΑΙ ΤΟ ΑΛΛΟΝ ΑΧΡΥΣΩΤΟΝ.[851] — Λαβὼν ὀστέα προβατίνας, καῦσον αὐτὰ ἐν πυρὶ, ἕως οὗ τεφρωθῶσιν. Εἶτα μίξον ὀλίγον γύψον μετὰ ψιμμιθίου, καὶ τρίψον καλῶς ἕως ἂν λειανθῶσιν, καὶ μίξον ἰχθυόκολλαν · πρόσπλαθε τοὺς τόπους ὅθεν βούλει χρυσῶσαι, καὶ ἂς ξηρανθῇ. Μετε- (f. 284 r.) πειτα δὲ χρύσονε τὸ ἕτερον.[852]

22. ΠΕΡΙ ΤΗΣ ΕΓΚΑΥΣΕΩΣ. — < Λάβε > β′ μέρη ἀσήμην ἀπὸ σολδία παλαιὰ, καὶ γ′ χάλκομαν.

23. ΕΙΣ ΤΟ ΧΡΥΣΩΣΑΙ ΖΩΑ ΕΙΣ ΚΟΥΠΑΝ, ΚΑΙ Ο ΚΑΜΠΟΣ ΝΑ ΕΝΑΙ ΑΣΠΡΟΣ. — Λαβὼν τὸ λευκὸν τοῦ ὠοῦ καὶ κεραμίδην τριμένον καὶ σιτισμένον, μὴ ἀναδεύσῃς. Ἔπειτα χρίσον τοὺς κάμπους, καὶ θὲς εἰς τὸν ἥλιον ἵνα ξηρανθῇ · εἶτα χρύσονε τὰ ζῶα.

24. ΕΙΣ ΤΗΝ ΧΡΥΣΟΚΟΛΛΗΣΙΝ. — Θέτε ἀλαμάρσα μέρος α′, καὶ χρυσάφην μέρη β′ · καὶ εἰς τὴν ἀργυρὴν θέτε

850. ἀποτελεῖ.

851. En mg. du ms. : διήγησις — F. l. κοῦπαν. — κλαδὴν] Cp. § 39. — Voir Saglio, *Dictionn. des antiq.*, art. *cælatura*, fig. 970 et 971.

852. F. l. χρύσονέ το. ἕτερον (ce dernier mot annonçant un nouvel article) ?

ἀλαμάρσα μέρος α΄, καὶ μέρη β΄ ἀσήμην.

25. ΠΕΡΙ ΤΟΥ ΧΡΥΣΩΣΑΙ ΧΑΛΚΟΝ ΜΕ ΤΟΝ ΑΣΗΜΟΝ. — Ἀσήμην φίνον κοπάνισον ψιλά, καὶ κατάκοψον. Ἔπειτα ποίησαι ὥσπερ τὸ [853] χρυσάφην · διαργύρωσον καὶ χρύσωσον. Ἔπειτα ἔπαρον τρυγίαν στερρόν [854] · καὶ θὲς μέσον ἔλαιον, καὶ ἂς βράσῃ. Ἔπειτα βάλε τὴν κοῦπαν [855] μέσον, καὶ ἂς σταθῇ ὀλίγον. Καὶ τότε ἔπαρον βαμβάκην, καὶ τρίψον · καὶ πάλιν τὸ βάνε εἰς τὸ ἔλαιον μέσον, καὶ τρίψον ἕως οὗ να στεγνώσῃ [856] μέσα εἰς τὸ ἔλαιον ὁ ὑδάργυρος.

26. ΠΕΡΙ ΤΟΥ ΧΡΥΣΩΜΑΤΟΣ ΤΟΥ ΑΕΡΟΣ ΤΟΥ ΜΑΛΑΓΜΑΤΟΣ. [857] — Περὶ τοῦ διαργυρῶναι. < Λαβὼν > τὸ ἀσήμην καλὰ καὶ καθαρὰ με λεμόνην ἢ με νεράντζην, καὶ βάλε το εἰς τρυγίαν, να ποιήσῃ [858] καλά. Ἔπειτα ἔπαρον τὸν ἀέραν, καὶ βάλε εἰς τὸ ἀσήμην ἐπάνω. Καὶ παρευθὺς λύεται τὸ χρυσάφην εἰς τὸν διάργυρον. Καὶ τότε ἔπαρον ἓν σίδηρον πλατὺ καθαρόν · καὶ σθλίβονε ἐπάνω εἰς τὸ [859] πῦρ · τρίβε δὲ με λαγωπόδαρον. Ἔπειτα ὅταν ἴδῃς ὅτι στεγνώνῃ, [860] ἔπαρον ὀδόντι λύκου, καὶ σθλίβονε ἄνωθεν τοῦ πυρὸς, καὶ χρύσονε.

853. φίνω.
854. στερῶν.
855. κούμπαν.
856. τρίψον, en toutes lettres] F. l. λείωσον. Le même signe sert pour les deux mots dans la notation alchimique. — F. l. στεγνωθῇ.
857. ἀέρος] Probablement le mot latin *æs*, *æris*, bronze, grécisé (*M. B.*).
858. ποιήσῃ] ποιάσει.
859. πλατὺν.
860. F. l. στεγνόνει.

27. ΚΟΛΛΗΣΙΣ ΑΝΚΟΠΥΡΙΝΗ. — Ἀρχή · ποίησον κόλλησιν, καὶ βαλὼν β′ μέρη κασσίτερον, καὶ α′ μόλιβδον ἐν τῷ χωνίῳ ἔσω, καὶ ὅταν λειωθῇ, βάλε τζαπαρικὸν ὀλίγον · καὶ τότε ἔπαρον τὰ κομμάτια τὸ ῥινὴ, ὥστε να ποιήσῃ ἡ κόλλησις. Καὶ βάλε ἐπάνω εἰς μάρμαρον ἴσιον · καὶ ἔπαρον τὰ κομμάτια ἐγλήγορα, καὶ θές τα εἰς τὸ μάρμαρον,[861] διά να κολλήσῃ ἴσια.

28. Ὅταν χρυσόνῃς ἄσημον καὶ οὐδὲν ποιάνῃ, βάλε ὀλίγον πτερὸν αον να καῇ · καὶ ὀλίγον καὶ κερὴν καθαρὸν να καῇ ἐπάνω εἰς τὸν ἄσημον · εἶθ' οὕτως χρύσονε.

29. ΕΙΣ ΤΟ ΧΡΥΣΩΣΑΙ ΖΩΑ ΕΙΣ ΚΑΜΠΟΝ ΚΟΥΠΑΣ, ΚΑΙ Ο ΚΑΜΠΟΣ ΕΝΑΙ ΑΧΡΥΣΩΤΟΣ.[862] — Ἔπαρον πετζόλλαν καὶ ὀλίγον ἀσβέστην · καὶ ἀνάδευε εἰς τὸ πῦρ · ἔπειτα χρίε καὶ με τερὸν (?) τὸν κάμπον · καὶ ὅταν[863] στεγνώσῃ, διαργύρισον τὰ ζῶα.

30. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΧΡΟΑΝ ΩΡΑΙΟΤΑΤΗΝ ΕΙΣ ΑΣΗΜΟΝ ΧΡΥΣΩΜΕΝΟΝ. — Ἔπαρον τιάφην μέρη γ′, καὶ τρυγίαν καθαρὰν ἀπὸ Μονοβασίας[864] μέρη β′, καὶ ἅλας μέρος α′, καὶ τρίψον καλῶς, ἂς βράσουν καλῶς μετὰ ὕδατος. Εἶθ' οὕτως βάλε τὸ ἄσημον μέσον ἕως ὥραν πατὲρ ἡμῶν. Ἔπειτα ἔκβαλον τοῦτο, θὲς εἰς ὕδωρ ψυχρὸν καθαρὸν, καὶ βούρτζισον.

31. ΟΤΑΝ ΣΚΑΖΗ ΤΟ ΑΣΗΜΗΝ. — Βαλὼν κε-

861. κομάτια. — F. l. ὀγλίγωρα.
862. κούμπας.
863. F. l. με πτερὸν.
864. F. l. Μονεμβασίας (ici et plus loin).

ραμίδην χονδρὸν εἰς χωνὴν, καὶ ἂς βράσῃ καλῶς. Καὶ ἄνωθεν φύσα με τὸ καλάμην εἰς τὸ χωνήν · καὶ πίνει τὸν μόλιβδον. Ἐὰν γοῦν οὐδὲν ἐκαθάρισεν, πάλιν[865] βάλε το δεύτερον. Εἶθ' οὕτως σφύρισον, εἰ δὲ σκάζει, ῥίψον ἀφρὰ ὑδράργυρον καὶ κεραμίδην · βάλε εἰς τὸ χωνήν.

32. ΕΙΣ ΚΟΛΛΗΣΙΝ ΤΟΥ ΣΜΑΡΔΟΥ. — Βάλε ἀσήμην φίνον μέρη ι', [866] καὶ α' χάλκομαν. Βάλε μβουράζω ἤγουν ὕελον βραχὺ, καὶ ποίησον (f. 285 r.) εἴ τι θέλεις, καὶ σφύρισον ψιλὰ, καὶ σαπούνισον, καὶ κόλλησον. [867]

33. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΣΥΡΜΑΝ ΚΟΥΦΙΟΝ. — Ἔπαρον ἀσήμην[868] φίνον, σφύρισον, καὶ κατάκοψον, καὶ γύσε το εἰς σίδηρον στρογγύλον. [869] Ἔπειτα βάλε το εἰς τὸν σύρτην, καὶ σύρε το μίαν φοράν. Κόπτε με[870] ῥινὴ, καὶ ποίει βούκινον, καὶ βάλε του στεφάνην · καὶ βάλε ἄνωθεν ὕελον θέλῃς ἄστρον, καὶ κόλλησον. [871]

34. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΕΓΚΑΥΣΙΝ. — Βάλε ἀσήμην φίνον ΣΤ$^{\gamma}$ α', χάλκομαν ΣΤ$^{\gamma}$ α', καὶ μόλιβδον ΣΤ$^{\gamma}$ α' · καὶ χώνευσον αὐτὸ εἰς χωνὴν, καὶ βάλε τριμμένην τιάφην πολλὴν, καὶ βάλε το εἰς ἀφόριον τζουκάλην · καὶ χύσε μέσα να μηδὲν εὐγῇ ὁ ἀτμός. Καὶ ὅταν κρυώσῃ, [872] μετα-

865. πίνη] A rapprocher de πίνος, pris dans le sens de teinture, vernis.
866. φίνω, ici et partout.
867. σφήρισον, ici et plus loin.
868. σήρμαν.
869. γύσε] F. l. γύρε.
870. σήρτυν. — σήρε.
871. ἄστρον] F. l. ἄσπρον.
872. χύσε] F. l. χῶσαι. — εὐγῇ] F. l. ἐαγῇ. Cp. ci-dessus, p. 327, l. 3. — κριώσει.

χώνευσαι τὸ βεργὴν εἰς ῥυγλωχύτην εἰς τεάφην. Ἔπειτα τρίψον καὶ πλύνον, καὶ βάλε ὅπου θέλεις.

35. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΧΡΟΑΝ ΕΥΜΟΡΦΗΝ ΕΙΣ ΧΡΥΣΩΜΕΝΟΝ ΑΣΗΜΗΝ. — Ἔπαρον κολοδίδαν κόρκομαν. Τρίψον καλῶς καὶ θὲς εἰς τρυγίαν στερρὸν μετὰ ὕδατος ἐν τῷ πυρὶ, καὶ τρυγίαν Μονοβασίας, καὶ ὀλίγον ἅλας, καὶ ἂς βράσῃ. Καὶ ἐπίθες μέσον ἕως ὥρας πατὲρ ἡμῶν.[873] Ἔπειτα ἄρον αὐτὸ, καὶ θὲς ὕδατι ψυχρῷ · καὶ τοῦτο ποίει β′ καὶ γ′ φοράς.[874]

36. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΚΟΛΛΗΣΙΝ ΚΑΚΚΑΒΙΩΝ ΚΑΙ ΕΙΣ ΣΟΥΛΙΝΑΡΙΑ ΛΟΥΤΡΟΝ. — Βρέξον ἀσβέστην κοσκινισμένην, καὶ ἀνάδευσον καλῶς ἡμέρας πολλάς. Ἔπειτα ἔπαρον τὸ ἄνωθεν ἄνθος αὐτῆς, καὶ βράσον καὶ ποδοκέφαλα προβάτου καλῶς · καὶ τὸν ζωμὸν βάλε εἰς τὴν ἄσβεστον, καὶ βράσον καὶ τῆς πτελέας τὸ ἔσωθεν φλοῦν, καὶ μίξον αὐτὸ, καὶ ἀσπράδην ὠοῦ, καὶ κόλλησαι ὅ τι χρῄζεις.

37. ΕΙΣ ΤΟ ΛΑΜΠΡΥ (f. 285 v.) ΝΑΙ ΜΑΡΓΑΡΙΤΑΡΙΝ.[875] — Λαβὼν χειμωνικὸν ἢ πεπόνην, σχίσον μέσον αὐτῷ, καὶ θὲς τὸ μαργαριτάριν μέσον, καὶ θὲς τὸ πεπόνην μέσον ἐν τῷ φουρνέλῳ να ψειθῇ, καὶ λαμπρύνονται.

38. ΑΛΛΟΝ. — Τάγησον τὸ μαργαριτάριν < εἰς > ὀρνίθην ἢ περιστέριν,[876] καὶ ἂς σταθῇ < εἰς > ὥραν πατὲρ ἡμῶν

873. ἀσβράσει, ici et partout. — ἡμοῦ, ici et plus loin.
874. βον καὶ γον.
875. λαμπρήναι, et plus loin λαμπρήνονται.
876. F. l. τάγγισον.

· καὶ τότε σφάξον να τὸ [877] ἐξεβάλῃς.

39. ΠΕΡΙ ΤΩΝ ΣΥΡΜΑΤΩΝ ΤΗΣ ΧΡΥΣΟΧΟΙΚΗΣ ΤΕΧΝΗΣ. — Λαβὼν ἀσήμην καθαρὸν, λαγάρισον αὐτὸ με μόλιβδον ἐπταπλασίως < ἕως > γένηται ὡς χρυσός. Ἔπειτα τὸ σαπούνισαι καὶ ποίησαι τὸ νέμαν ψιλὸν [878] εἰς τὸν σύρτην · καὶ δίπλωσον καὶ κλῶσον. Ἔπειτα τὸ ποίησαι συρὲς, καὶ φύλλα, καὶ κλαδία, καὶ ἄστροι, καὶ τριαντάφυλλα, καὶ [879] κλώσματα στριφτὰ καὶ πλεγμένα, καὶ ζῶα, καὶ πετηνὰ, καὶ ἄλλα εἴ [880] τι θέλεις. Ποίησαι πέταλον σιδηροῦν λεπτὸν ἴσον · καὶ λαβὼν τετράγκαθον, [881] θὲς εἰς ἀγγεῖον μετὰ ὕδατος να βραχῇ νύκταν μίαν · καὶ τὸ [882] πρωΐ, χύσον τὸ ὕδωρ, καὶ ἄφες ὅσον χρήζεις · θές το ἐν τῷ πυρὶ, καὶ ἀνάδευσον καλῶς, ὥστε να γένῃ κόλλα. Ἔπειτα ἔπαρον τριχολαύδην, [883] καὶ ἔπαρον πρὸς ἕνα σύρμαν, ἢ σύραν, ἢ φύλλον, καὶ θέτε τα κάτω μίαν εἰς τὴν κόλλαν. Ἔπειτα σύνθεναι εἰς τὸ πέταλον ἀπάνω εἰς τὸ [884] σιδηροῦν, καὶ ποίει εἴ τι θέλεις πλουμία, καὶ ἀφ' ὧν τὸ πληρώσεις, θές το ἐν τῷ πυρὶ, ἀπέξωθεν, ἕως οὗ να καῇ ἡ κόλλα πρὸς ὀλίγον. Καὶ τότε ἔπαρον ἀπὸ τὸ ἀσήμην αὐτὸ τὸ φίνον ΣΤ$^{\upsilon}$ α΄, καὶ θές το εἰς τὸ χωνὴν, καὶ ἀνάδευσον αὐτά. Ἔστιν ἡ κόλλησις αὕτη · τότε ποίησαι τὸ σφυρισμένον ψιλὸν ὅσον δύναται, καὶ (f. 286 r.) κατά-

877. F. l. σφίξον.
878. νίμαν.
879. F. l. ἄστρα.
880. στριφτὰ] F. l. στρεπτὰ.
881. πεταλοσιδηροῦν.
882. βραχὺ.
883. F. l. τριχολαβίδην.
884. F. l. σύνθετε.

κοψον με τὸ ψαλίδην λεπτῶς. Καὶ θὲς αὐτὸ κόλλησιν μέσον τῶν συρμάτων μετὰ πτερὸν βρεγμένον. Εἶτα θέλεις ποιῆσαι τὸ ῥίνισμα χονδρὸν καὶ θές το, καὶ παράνω βάλε ὑαλῆν βοράχη τετριμμένον ψιλὸν, καὶ κοκκίνισον[885] αὐτὸ ἐν τῇ πύρᾳ. Ἔπειτα τὸ ἄσπρισον καὶ βούρτζισον τὰ ἀχείροτα[886] · καὶ τότε λαγάριζε εἰς τὸν χαλκεπλύτην καὶ κέρατα β΄ ἡμισάδια,[887] καὶ τὴν θελέαν γοῦν να βάνῃ εἰς τὴν ἀπέσω μερέαν ἀσήμην στρογγύλον μικρὸν διὰ δύναμιν · εἰς τὰ στρογγύλα γοῦν τὰ κομπεία · ὅπου οὐδὲν βάνεις σμάρδον θέλῃς κόλλησιν, ἀλλὰ μένειν ἀπὸ σολδία παλαιὰ, ἢ ἀπὸ ἄλλον ὅπου λέγεται ἀλαμάρσα.

40. ΑΛΛΗ ΜΕΘΟΔΟΣ ΜΥΣΤΙΚΗ. — Λαβὼν ἄσβεστον ἄβροχον, καὶ[888] μίξον καὶ ἔλαιον μετὰ τῆς ἀσβέστου, καὶ πότισον καλῶς μίαν καὶ β΄ φοράς. Καὶ τότε βάλε ἐν τῷ ἀμβίκῳ, ἐπίβαλον δὲ καὶ ἐν τῷ φουρνελλίῳ[889] στάκτην ἔχων κύκλωθεν καὶ ἐπάνω δακτύλων β΄ · καὶ ἐξήβαλον τὸ θεῖον ὕδωρ ἐν ἑτέρᾳ φιάλῃ. Καὶ τότε λαβὼν πανὴν λινὸν, καὶ βρέξον αὐτὸ ἐν τῷ ὕδατι τούτῳ · καὶ τίθες ἐν τῷ πυρὶ, καὶ εἰ μὲν ἄψει τὸ[890] πανῆ, ἴσθι ὅτι οὐκ ὠφελεῖ. Καὶ πάλιν ἔπαρον τὸ ἔλαιον τῆς ἀσβέστου · καὶ βαλὼν αὐτὸ εἰς ἑτέραν ἄσβεστον, καὶ ποίησον αὐτὸ ὡς τὸ πρότερον, ἕως οὗ εὐτυχῆσαι αὐτὸ, ἤγουν ἕως οὗ μὴ καῆναι τὸ πανῆ ἐν τῷ

885. βοράχυ τετριμένον. — κοκίνησον.
886. F. l. ἀχύρωτα.
887. F. l. χαλκοπλύτην.
888. Une main en marge du ms., à l'encre rouge ; σῆ, à l'encre noire.
889. ἰαμβύκω, ici et plus loin.
890. ἄψη.

πυρί. Καὶ τότε λαβὼν ἐκ τὸ ἔλαιον, καὶ θὲς κασσίτερον ἐν τῷ χωνίῳ, καὶ[891] γίνεται χρυσός.[892]

41. ΕΤΕΡΟΝ ΥΔΩΡ ΘΕΙΟΝ. — (f. 286 v.) Λαβὼν χάλκανθον λίτραν α΄, καὶ σαλονίτριον λίτραν α΄, καὶ κιννάβαριν γ° δ΄, τρίψας καλῶς ἐν θυείᾳ λιθίνῃ, καὶ βαλῶν ἐν τῷ ἀμβίκῳ, θὲς ἐν φουρνελλίῳ · καὶ φιμώσας μετὰ ζύμης καὶ ὠοῦ τὸ λευκὸν, τὸ αον ὕδωρ φύλαττε · τὸ δὲ βον τὸ κινούμενον ἐκ τῆς ῥυτῆς τοῦ ἀμβίκου ὅπου θέλει κοκκινίσει[893] τὸ καπούτζιν τοῦ λαμπίκου. Αὐτὸ λέγεται τὸ ἰσχυρὸν ὕδωρ. Τότε ἔπαρον ἐξ αὐτῶν τῶν ὑδάτων γ° β΄ καὶ ὑδραργύρου γ° β΄ · καὶ βαλὼν αὐτὰ ἐν τῷ βικίῳ ἐν θερμοσποδιᾳ, καὶ γίνεται ὕδωρ τῆς ὑδραργύρου. Ἔπειτα λαβὼν ἐκ τὸ ἐπίλοιπον ὕδωρ γ° α΄, καὶ ἄργυρον καθαρὸν γ° α΄, καὶ θὲς αὐτὸ ἐν ἑτέρῳ βικίῳ ἐν θερμοσποδιᾷ, καὶ γίνεται[894] ὕδωρ τοῦ ἀργύρου. Καὶ τότε μίξον τὰ β΄ ὕδατα ἐν τῷ ἅμα τοῦ ὑδραργύρου καὶ τοῦ ἀργύρου ἐν ἑτέρῳ βικίῳ ἀνοικτόν · καὶ βαλὼν αὐτὸ ἐν[895] θερμοσποδιᾷ, καὶ γίνεται λευκὸν ὥσπερ κρύσταλλον. Εἶθ' οὕτως[896] λαβὼν ἐξ αὐτὸν τὸ κρύσταλλον ὅσον θέλεις, καὶ ἀπὸ τὸ ἔλαιον τῆς ἀσβέστου ἕτερον τόσον, καὶ ὑδράργυρον ἄλλον τόσον, καὶ τίθες ἐν ἑτέρῳ βικίῳ, καὶ ἀνάδευσον καλῶς, ἕως οὗ λειωθῇ ὁ ὑδράργυρος.

891. κασσίτερον, en signe.
892. Signe de l'or au-dessus de χρυσός.
893. ῥιτῆς. — Les mots ὅπου λαμπίκου sont intercalés à la marge supérieure et à celle de gauche avec renvoi à ἰαμβύκου.
894. ἐν ἑτερομβικίω, ici et plus loin.
895. F. l. ἀνοικτῷ.
896. κρύσταλον, ici et partout.

Τότε βάλε αὐτὰ ἐν τῷ ἀμβίκῳ, καὶ ποίει ἐλαφρὰν πυράν, καὶ ἐξήβαλον[897] τὸ ὕδωρ φορὰς γ΄ ἀπὸ τὸν ἄμβικα, καὶ τίθες ἀεὶ ἀπὸ τὸν ἔλαιον[898] αὐτοῦ ποτίζειν αὐτῷ · καὶ ὅταν γὰρ ποιήσεις αὐτὸ φορὰς γ΄, θέλεις[899] ἰδεῖν ὅτι ἔγινεν ἔσω εἰς τὸν ἄμβικα ὥσπερ μίαν πέτραν. Καὶ τότε λαβὼν ἀπ' αὐτὸν τὸ εἶδος γ° α΄, καὶ ὑδράργυρον γ° α΄, καὶ γίνεται ὅ τι θέλεις.

42. ΥΔΩΡ ΙΝΑ ΕΚΒΑΛΗΣ ΧΡΥΣΟΜΑΝ ΑΠΟ ΑΣΗΜΗΝ. — Λαβὼν β΄ μέρη τζαπαρικὸν, καὶ σαλονίτριον μέρη γ΄, τρίψον καλῶς εἰς ὅλμον. Ἔπειτα (f. 287 r.) βαλὼν ἐν τῷ ἀμβίκῳ, καὶ κλεῖσον καλῶς μετὰ στάκτης καὶ κεραμίδην καὶ ὠῶν · καὶ θὲς ἐν φουρνελλίῳ ἵνα βράσῃ ὥρας γ΄. Εἶτα ἄνοιξον τοῦ ἐξεβῆναι τὸ φάρμακον · καὶ πάλιν σφάλισον αὐτὸ καὶ ἂς βράζῃ ἕως ὄρθρου μετὰ καλῆς βίγλας · καὶ πληρωμένων[900] τῶν ὡρῶν ξε΄, βάνε τὸ πῦρ πρὸς ὀλίγον, καὶ ἐπληρώθη τὸ θεῖον[901] ὕδωρ. Καὶ ὅταν θέλῃς, ἐξηβάλε τὸ χρυσάφην ἀπὸ τὸ ἀσήμην. Κόψον τὸ ἀσήμην, καὶ βαλὼν αὐτὸ ἐν τῷ λαμβύκῳ, καὶ φίμωσον καλῶς.[902] Εἶτα σείρωσον τὸ ὕδωρ, καὶ χώριζε τὸ χρυσάφην, καὶ γίνεται ῥίνισμαν,[903] καὶ μάζωσαι με τὸ χρυσωτήριον.

43. ΕΤΕΡΟΝ ΩΣΑΥΤΩΣ. — Λαβὼν στυπτηρίαν λίτρας β΄, σαλονίτριον λίτραν α΄, βιτριόλῳ ῥωμάνῳ λίτρας ἥμισυ,

897. ἰαμβύκῳ, ici et plus loin. F. l. λαμβίκῳ.
898. ἰάμβυκα, ici et plus loin.
899. αὐτῷ] F. l. αὐτό.
900. βύγλας.
901. ἐπληρώθην.
902. F. l. λαμβίκῳ.
903. χωρίζει.

τρίψον, θὲς ἐν[904] λαμβίκῳ, καὶ βαλὼν ἐν φουρνελλίῳ, καὶ κλεῖσον καλῶς, καὶ κάτωθεν βάλε ὔελον ἄλλον, ἵνα ἐπιδέχεται τὸ δυνατὸν ὕδωρ, καὶ πληροῦται τὸ θεῖον ἄθικτον ἐπὶ ὥρας κδ΄ · καὶ ὅταν βούλει, ἐξηβάλε τὸ χρυσάφην ἀπὸ τὸ ἀσήμην. Θὲς αὐτὸν τὸ δυνατὸν ὕδωρ ἔνδον ἐν ὑελίῳ ἐν θερμοσποδιᾷ, καὶ ὁ ἄσημος γίνεται ὕδωρ, καὶ πλέει ὡς ἀφρὸς ἐν αὐτῷ τὸ ὕδωρ. Ἔπειτα λαβὼν τὸ ὕδωρ αὐτὸ με τὸν ἄσημον τὸν μεμιγμένον, καὶ βαλὼν ἐν τῷ φουρνελλίῳ μετὰ τὸν ἄμβικα, καὶ ποίησον ἐλαφρὰν πυράν · καὶ ἔκβαλον ἐκ τούτου τὸ ὕδωρ ἐκ τῶν μαστῶν, καὶ τὸ ἀσήμην μένει κάτω.

44. ΤΟ ΛΑΓΑΡΙΣΜΑΝ ΧΡΥΣΑΦΙΟΥ. — Λαβὼν μαρκαζήταν[905] γ° (f. 287 v.) η΄, καὶ τεάφην γ° δ΄, καὶ χωνεύσας ὁμοῦ ἐν τῷ χωνίῳ, καὶ γίνεται ἀντεμόνιον. Καὶ ὅταν θέλῃς λαγαρίσαι χρυσάφην χονδρὸν, θὲς τὸ χρυσάφην εἰς τὸ χωνὴν μέσον τοῦ πυρὸς. Εἶτα βαλὼν ἀπὸ τὸ ἀντεμόνιον ὅσον θέλεις μέσον τῆς χώνης, καὶ ἂς βράσῃ. Ὅταν δὲ ψυχρανθῇ, βαλὼν αὐτὸ ἐν βυσάλῳ ἑλληνικῷ ἐν τῷ πυρὶ, ὥστε να ψυχρανθῇ.

45. ΕΤΕΡΟΝ ΟΜΟΙΟΝ ΕΙΣ ΑΣΗΜΟΝ. — Ξύσον τὸ χρυσάφην ἀπὸ τὸ ἀσήμην, καὶ βαλὼν ἐν τῷ χωνίῳ τὰ ξύσματα, εἶτα τρίψον ἀπὸ τὸ ἀντεμόνιον μέσον τῆς χώνης, καὶ ἂς βράσῃ · καὶ μετὰ ταῦτα θὲς εἰς βύσαλον ἑλληνικὸν, ἵνα λαγαρισθῇ, ὥστε ψυχρανθῇ, καὶ γίνεται[906] λαγαρισμένον

904. βιτριόλω.
905. μαρκοζήταν] μαρκάσι en néogrec.
906. λαγαριστῇ.

μάλαγμα.[907]

46. ΟΤΑΝ ΣΚΑΖΗ, ΤΟ ΑΣΗΜΗΝ Η ΤΟ ΧΡΥΣΑΦΗΝ. — Θὲς μέσον τῆς χώνης ἄφρατον ὑδάργυρον καὶ κεραμίδιον, ἂς βράζῃ, καὶ γλυκαίνεται · ὅσον βαλεῖς πλέον, κάλλιον γίνεται.

47. ΤΟ ΠΟΥ ΣΤΑΜΑΤΙΣΙΣ ΥΔΡΑΡΓΥΡΟΥ. — Θὲς ὑδράργυρον ὅσον θέλεις, καὶ μόλυβδον ἄλλον τόσον, καὶ θές τα ἐν κλάσματι χύτρας ἐν καμίνῳ · καὶ θὲς λουμπάρδιν ὀλίγην, καὶ γίνεται ἄσημος ἔκλεκτος.

48. ΑΛΛΟΝ. — Θὲς ὑδράργυρον εἰς γαστρὴν, καὶ κρομμυδίου ζωμὸν,[908] καὶ λουμπάρδιν, καὶ βάλε εἰς τὸ καμίνην, καὶ θέτε καὶ ἀξούγγιν μέσα, καὶ ἂς βράσῃ, ὥστε να γένῃ στάκτη, καὶ ἐξ αὐτὴν τὴν στάκτην βαλὼν εἰς ἄσημον μέσον εἰς τὴν χώνην, καὶ γίνεται μάλαγμα.

49. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΓΡΑΜΜΑΤΑ ΧΡΥΣΑ. — Λαβὼν ἀέραν χρυσὸν, τρίψον εἰς μάρμαρον πορφυροῦν, καὶ θὲς μέσον μέλι ὀλίγον, καὶ[909] τρίψον πολλά. Ἔπειτα θὲς εἰς κογχύλην καὶ πλύνον (f. 288 r.) καλῶς μετὰ ὕδατος, ὥστε να ἐξεβάλῃς τὸ μέλιν. Εἶθ' οὕτως σκεύασον μετὰ ᾠοῦ τὸ λευκὸν, καὶ γράφε. Καὶ ὅταν ξηρανθοῦν, σθλίβωσον με λιθάριν ἢ με λυκουδόντι, καὶ γίνεται εὔμορφον. Στύψον γοῦν τὸ λευκὸν τοῦ ᾠοῦ[910] με σφουγγάριν πολλάκις, ὥστε

907. λαγαρισμένω.
908. κρομιδίου.
909. F. l. χρυσοῦν.
910. F. l. λύκου ὀδόντι.

να γένῃ ὕδωρ, ἵνα μηδὲν μολυχυάσῃ[911] · καὶ βάλε καὶ ποντικοφάρμακον λευκὸν τετριμμένον · καὶ ἂν σὲ μίνῃ[912] χρυσάφην, πλύνε τὸ ὠὸν ἵνα ἐξέβῃ.[913]

50. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΩΡΑΙΟΧΑΛΚΟΝ ΩΣΠΕΡ ΧΡΥΣΟΝ. — Λαβὼν[914] τούτια πτενὴν γ° α΄, ὁμοίως κόπρον γ° α΄, σύκα ξηρὰ καὶ μαῦρα[915] γ° α΄, τρίψον εἰς ὄλμον, καὶ ἀνάμιξον, καὶ ἔπαρον κασσίτερον γ° α΄. Καὶ σφυρίσας, κατάκοψον, μίξον μετὰ τοῦ εἴδους ἐκείνου · καὶ θὲς ἐν τῇ χώνῃ, καὶ κλεῖσον ἄνωθεν μετὰ πηλοῦ, καὶ φύσα καὶ ἂς βράσῃ. Ὅταν νοήσῃς ὅτι ἐχύθη, ἀπόκλεισον καὶ χύσον, καὶ πάλιν ἀνάμιξον τὰ εἴδη · καὶ ποίησον ὡς τὸ πρότερον, ὥστε να θέσῃς ὅλον ἐκεῖνον τὸ εἶδος, καὶ γίνεται ὡς χρυσός.

51. ΠΕΡΙ ΤΟΥ ΣΑΠΟΥΝΙΟΥ. — Λαβὼν πρωτίον τοῦ σαπουνίου,[916] καὶ μίξον, καὶ ἅλας τρίψον. Εἶθ' οὕτως κίνησον.

52. ΕΤΕΡΟΝ. — Λαβὼν τζαπαρικὸν, καὶ ἅλας, καὶ ὕδωρ, καὶ τρίψον καλῶς. Εἶθ' οὕτως τὸ κίνησον τὸ ὡραιόχαλκον.

53. Ο ΥΕΛΟΣ. — Τὸ βοράχον τὸ ποιοῦν μετὰ τζαπαρικὸν καὶ στύψεως καὶ ἅλας.

54. ΠΕΡΙ ΤΟΥ ΛΕΥΚΑΝΑΙ ΚΑΣΣΙΤΕΡΟΝ. — Λαβὼν ποντικοφάρμακον κίτρινον ὅσον θέλεις, καὶ σαλονίτριον

911. σφουγγάριν] σφογκάριν. — μὴ δὲν, ici et partout.
912. F. l. καὶ ἂν σοι μείνῃ.
913. ἐξέβῃ] ἐξεύει.
914. ὡραῖον χαλκὸν et l. 14, ὡραιοχαλκον] F. l. ὀρείχαλκον. Cp. Lexique, ci-dessus, p. 17, l. 17, où ce mot commence nécessairement par un ω.
915. F. l. τουτίαν.
916. F. l. πρωτεῖον.

ἄλλον τόσον, τρίψον καλῶς. Εἶθ' οὕτως τὸ ἀνάμιξον · ἔπειτα θὲς αὐτὸ εἰς ὕελον μέσον τοῦ πυρὸς (f. 288 v.) εἰς ἀνθρακίαν, ἵνα καῇ ἕως οὗ [οὐ] μὴ ἐκβῇ πλέον καπνός · καὶ γίνεται λευκὸν ὥσπερ χιών. Εἶθ' οὕτως ἐξέβαλον, καὶ τρίψον καλῶς, καὶ βαλὼν κασσίτερον εἰς τὴν χώνην γ° δ΄ · καὶ ζύγισον καὶ ὀψιαστικὴν γ° α΄ · καὶ χώρισε αὐτὴν εἰς μέρη ΣΤ΄ · καὶ ὅταν ἔλθῃ ὁ [χαλκὸς] κασσίτερος μέσον τῆς χώνης, βάλε τὸ αον μέρος καὶ πούμωσον[917] μετὰ καρβώνων, καὶ ἂς βράζῃ ἕως οὗ να ἐξέβῃ ὁ ἀτμός. Καὶ πάλιν θὲς ἄλλον μέρος ὁμοίως ὡς τὸ πρῶτον, ὥστε να τὸ ἀποβάλῃς. Καὶ τότε χύσον εἰς κουπίδη σιδηροῦν, καὶ ἔσται ᾠκονομημένον. Καὶ ὅταν θέλῃς χρυσῶσαι ἄσημον, θὲς ὡς χρῄζεις ἢ ὡς θέλεις, καὶ βάλε. Καὶ ὅταν τὸ σμίγῃς με τὸ ἀσήμην, βάλε καὶ τρυγίαν ὀλίγην εἰς τὸ χωνὴν, ἤγουν τὸ δ^{ον}.

55. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΧΑΛΚΟΝ ΩΣΠΕΡ ΧΡΥΣΟΝ. — Λαβὼν θουθείαν μέρη γ΄, κούρκουμα μέρος α΄, σταφίδας καὶ ἰσχάδας πυρροὺς καὶ μέλι[918] καὶ κουκουκία καθαραστὰ μέρος α΄, ἀμυγδάλων τὸ ἔσω φλοῦν, γλυκόριζον,[919] κρόκον ὠοῦ, καὶ ζαφρὰν μέρος α΄, χολὴν πυρροῦ βοὸς ξηρὰν μέρος α΄, τρίψον τὴν θουθείαν, ὡς τρίβουσιν τὴν κιννάβαριν μετὰ ἐλαίου, καὶ ποίησον ὡς πηλῶδες. Καὶ

917. χαλκὸς κασσίτερος] signes de χαλκὸς et de κασσίτερος. — πούμωσον]. Peut-être la forme primitive du néogrec πουμόνω, synonyme de στουπόνω.
918. F. l. κόρκωμα (comme plus haut).
919. F. l. κουκκία καθαριστὰ.

τότε τρίψον τὰ ἄλλα εἴδη, καὶ ἔνωσον · καὶ λαβὼν χαλκὸν γ° γ′, καὶ σφύρισον λεπτῶς ἐν τῇ ἀκμωνῇ, καὶ ἀνάδευσον τὰ εἴδη · καὶ θὲς ἐν τῇ χώνῃ, καὶ κλεῖσον μετὰ πηλοῦ τὴς τέχνης, καὶ θὲς ἐν τῷ πυρὶ, καὶ φύσα μετὰ μηχανῆς καλῶς, καὶ ὡς βράζει πλεώτερον, καὶ βάνης καὶ ἀπὸ τὰ εἴδη ταῦτα, τοσοῦτον γίνεται καλλίων ὥσπερ χρυσός.[920]

56. ΥΔΩΡ ΠΙΣΤΗΣ ΟΙΚΟΝΟΜΙΑΣ. — (f. 289 r.) Λαβὼν τὴν ὀρνιθίαν γονὴν σώαν, ἀμόλυντον, ἄσπιλον, διέλε ταύτην ὡς ἐπὶ τῶν καρυκίων (χρειώδης γὰρ ἡμῖν ἐν πολλοῖς ἡ μαγειρικὴ τέχνη καθέστηκεν). Εἶτα ἐν δυσὶ χυτριδίοις μέρος ἑκάτερον τῶν ὑγρῶν ἐμβαλὼν, ποίησον τῶν διὰ μαστωτῶν ὀργάνων ὑστείαν μεγάλην · ὅσον να ἴδῃς ὅτι ἔλυσεν[921] ἐκεῖνον, ὅπου ἔνι μέσα εἰς τὴν μπότζαν, καὶ ἐπίγεν εἰς τὸ φοῦντος ὡς ἂν κερὴν, καὶ τότε ἄφες το να κρυώσῃ, καὶ τζάκησαί το, καὶ[922] θέλεις εὑρεῖν ἐκεῖνον ὁποῦ ἔνι μέσα πολύτιμον, καὶ ἐκεῖνον θέλει ἔσται διὰ τὴν χρείαν σου. Καὶ αὐτὸ τὸ βοτάνην ποιεῖ τὸν μόλιβδον τὸν κεκαθαρισμένον με τὸν ὑδάργυρον, ὁμοίως εἰς χρυσάφην φίνον εἰς πᾶσαν δοκιμήν. Λύσε αον τὸν μόλυβδον ὄντα λιτρῶν η′ · καὶ ὅτε λυθῇ ὁ μόλιβδος, ῥίψον ὑδάργυρον ᾠκονομημένον ἄλλαις η′ λίτραις, καὶ ἄφες να βράσῃ αον καλῶς, ἵνα καπνίσῃ. Καὶ τότε ῥίψον μίαν λίτραν ἀπ’ ἐκεῖνον τὸ βοτάνην, καὶ ἂς βράσῃ καλῶς μέσα. Καὶ ἀνακάτωνέ το μετὰ ἑνὸς ξύλου ἀναπτομένου ἕως ὥρας δ′. Εἶτα εὔγαλον

920. κάλὶος.
921. τῶν διὰ F. l. διὰ τῶν.
922. κριόσει, ici et partout.

αὐτὸ ἔξω καὶ ἄφες[923] το να κρυώσῃ, καὶ γίνεται μέλαν · ἀλλὰ χρωΐζει πρὸς ἐρυθράδαν, καὶ αὐτὸ ἔσται τὸ φάρμακον. Ἔτι δὲ λύσον μόλυβδον ᾠκονομημένον λίτρας η΄ · καὶ ὅτε λυθῇ καλῶς, ῥίψον ὑδράργυρον ἕτερον λίτρας η΄ · καὶ βαλὼν ἀπὸ τὸν βον βοτάνην λίτραν α΄, καὶ ἂς βράσουν καλῶς ὥραν ἡμίσειαν, καὶ ἄφες ἵνα κριώσῃ. Ἔτι λύσον μόλυβδον λίτρας η΄ καὶ μέσα τὴν λύσιν καλῶς ποίησον αὐτὸ πεντάκις, καθὼς προείπομεν · καὶ τῇ ὑστέρᾳ φορᾷ δίδεισε χρυσίον εἰς ἄ- (f. 289 v.) κρος. Ἔτι δὲ ἀπ' ἐκεῖνον τὸ χρυσίον βάνεις λίτρας η΄ μόλιβδον, καὶ λίτρας η΄ ὑδράργυρον, καὶ ἀπὸ βοτάνην ἐκεῖνον γίνεται χρυσίον εἰς ἄκρος.[924]

57. ΚΑΙ ΑΛΛΟΣ ΦΗΣΙΝ. — Λαβὼν ὠὰ ὅσα βούλει ... Texte imprimé d'après le ms. de Saint-Marc, ci-dessus, p. 141-142 (3, 8).

✴

✴✴

1.2.2 5. — 2. Travail des Quatre Éléments.

Transcrit sur A, f. 227 r. — *Collationné sur* E (*partie écrite par le copiste de L*, a, b, c.) f. 2 r. ;— *sur* Lc, p. 349. (*Mêmes variantes que dans* E.)

923. εὔγαλον] F. l. ἔκβαλον.
924. βατάνην.

1. ΑΡΧΗ ΤΗΣ ΚΑΤΑ ΠΛΑΤΟΣ ΤΟΥ ΕΡΓΟΥ ΕΞΗΓΗΣΕΩΣ. — Λάβε τὰ λευκὰ καὶ ξανθὰ τῶν ὠῶν, καὶ μάλαξον τῇ χειρί σου ὁμοῦ,[925] ὡς γενέσθαι μυελὸν, καὶ βάλε αὐτὰ εἰς καινὴν χύτραν, καὶ φίμωσον καὶ χῶσον εἰς κόπρον ἢ ἐν θερμοσποδιᾷ, ἢ ἐν ἀχύρῳ ἡμέρας ζ΄ ἢ δ΄. Εἶτα ἀνελὼν, θὲς ἐν ἄμβιξι, ὡς ἔγνως μετὰ ταπεινὴν λίαν πυρός · καὶ λάβε[926] το ἐξ αὐτῶν ὕδωρ λευκόν. Ὅταν δὲ νοήσῃς ὅτι στάζει θολὸν ἢ μέλαν, ἔα, καὶ ἔχε τοῦτο ἰδίως. Δέχου δὲ καὶ τὸ ἔλαιον, καὶ ἔστω ὑστεία[927] δυνατωτέρα, καὶ ἀποδεξάμενος καὶ αὐτὸ ἰδίως ἔχε · τὴν δὲ ἀπομένουσαν ἐν τῷ πατελλίῳ ὕλην κρύψον, ἥτις χαλκὸς κεκαυμένος καὶ μαγνήτης ἀσιατικός.[928]

2. ΣΤΟΙΧΕΙΟΝ ΠΡΩΤΟΝ ΤΟΥ ΥΔΑΤΟΣ. — ΕΡΓΑΣΙΑ ΠΡΩΤΗ ΤΟΥ ΘΕΙΟΥ ΟΞΟΥΣ.[929] — Καὶ ἐξαναμβικίσας διὰ τοῦ ὀργάνου εὐθέως τὸ θεῖον ὕδωρ[930] ἕως τρὶς, καὶ κάτε φορὰν βάλε τῇ λίτρᾳ τοῦ ὕδατος γ° α΄ θείαν[931] ἄσβεστον. Εἶτα ἀμβίκισον αὖθις μετὰ μύρτων φύλλα φορὰς ζ΄ · καὶ οὕτως ποίησον ἕως γένηται τὸ ὕδωρ τηλαυγὲς καὶ φαεινόν. Καὶ τότε λέγεται θεῖον ὄξος.

3. Πρόσχες δὲ ἵνα τῇ πρώτῃ ἀγωγῇ, ὡς εἴπομεν, σήπτης κάτε φορὰν[932] τοῦ διοργανισμοῦ ἡμέραν α΄ τὸν βίκον, ἢ ἐν

925. ὡς] ὥστε E.
926. ταπεινοῦ E.
927. καὶ ἔστω τὸ πῦρ δυνατώτερον E.
928. πατελίῳ AE, ici et partout. — μαγνησία ἀσιατική E.
929. καὶ ἐργασία E.
930. ἐξαναμβυκίσας A (βυ pour βι partout).
931. ἕως τρὶς] ἐκ τρίτου, ἑκάστῃ φορᾷ E.
932. σήπτης] σύπτης A ; corr. conj. — τόν βίκον] κρύπτης τὸν βίκον E.

τῇ κόπρῳ, ἢ ἐν ἀχύρῳ, ἢ ἐν (f. 227 v.) θερμοσποδιᾷ τὸν ἔχοντα τὸ ὕδωρ μετὰ τῆς μιᾶς γ° τῆς ἀσβέστου τῆς νεαρᾶς. Εἶτα ἀμβικίαζε · κάτε δὲ φορὰν βάνε νεαρὰν[933] ἄσβεστον · τὴν δὲ πρώτην ῥίπτε · ὅσον γοῦν ἀμβικιάζεις, τοσοῦτον ὠφελήσεις.

4. ΟΝΟΜΑΤΟΠΟΙΙΑ ΤΟΥ ΘΕΙΟΥ ΟΞΟΥΣ ΚΑΙ ΥΔΑΤΟΣ.[934] — Τοῦτο λέγεται παρὰ φιλοσόφων θεῖον ὕδωρ, θεῖον ὄξος, μαγνησία λευκή, ὕδωρ ἀσβέστου, οὖρον ἄφθορον, ὑδράργυρος, ὕδωρ θαλάσσης, γάλα παρθένου, ὀνόγαλα, κυνόγαλον, γάλα βοὸς μελαίνης, ὕδωρ στυπτηρίας, ὕδωρ σποδοκράμβης, ὕδωρ νίτρου, καὶ δυτικὴ πνοή. Τοῦτο λευκαίνει[935] τὸ σῶμα τῆς μαγνησίας, ἤγουν τὸν κεκαύμενον χαλκὸν, τοῦτο φέρει ἔξω τὴν φύσιν τὴν ἔνδον κεκρυμμένην · αὕτη ἐστὶν ἡ φύσις ἡ νικῶσα τὴν φύσιν, ἡ μεταλλάττουσα τὰς φύσεις, καὶ λειοῦσα, καὶ δεσμεύουσα, ἡ ἐγκυοῦσα καὶ τίκτουσα · ἡ δι' οὗ τὸ πᾶν ἀποτελεῖται.[936]

5. ΑΡΧΗ ΤΗΣ ΕΡΓΑΣΙΑΣ ΤΟΥ ΑΕΡΟΣ. — Ὁμοίως λάβε τὸ[937] ἔλαιον καὶ βάλε τῇ λίτρᾳ αὐτοῦ γ° α΄ ἄσβεστον, καὶ σῆψον ἐν τῇ κόπρῳ[938] ἡμέραν α΄ · εἶτα ἀμβίκισον, καὶ οὕτω ποίησον α΄ ἡμέραν καὶ μόνον[939] · μέχρι δὲ φορὰς κ΄ ἢ καὶ λ΄, ἀμβίκιζε μετὰ μύρτων φύλλων,[940] ἕως γένηται

933. κάτε δὲ φορὰν] καὶ καθεκάστην φορὰν E, ici et partout. — βάλε E.
934. καὶ τοῦ θείου ὕδατος E.
935. καὶ δυτ. καὶ πνοή A.
936. ἐγκύουσα] ἐγκυμονοῦσα E.
937. καὶ ἀρχὴ A.
938. ἀσβέστου E. — σύψον A ; κρύψον E. Corr. conj.
939. α΄ ἡμέραν] α΄ φορὰν E.
940. ἕως δὲ φορῶν εἴκοσι E.

καθαρώτατον, ὑπόλευκον, ξανθόν.

6. Τὸ δὲ πῦρ οὐχ ἔχω τί σοι λέγειν, ὅποιον εἶναι τῆς καμίνου,[941] πλὴν ἔστω σοι, ἢ λαμπάδος, ἢ καλάμης, ἢ κόπρου λίαν μαλθακὸν, καὶ οὐχὶ ὡς πῦρ · Ὁ δὲ ἄμβιξ ἔστω μέσον καννάβου κεχωσμένος, ἢ ὕδατος[942] ζέοντος, ἢ κόπρου, ἢ στάκτης · κρεῖττον δὲ ἐπὶ ὕδατος, ἥ τις καὶ ὑγρὰ[943] λέγεται κάμινος. Τινὲς δὲ ἕως πεντηκοντάκις τοῦτο διοργανίζουσιν · κάτε[944] γὰρ δέκα φορὰς λαμπρότερον φαίνεται τῇ χρείᾳ. Τὸ δὲ σημεῖον τῆς[945] αὐτοῦ τελειώσεώς (f. 228 r.) ἐστιν οὕτως. Πυρώσας πέταλα ἀλόγου[946] σιδηρᾶ ἕως ἑπτάκις, κατάβαπτε ἐν αὐτῷ τῷ θείῳ ἐλαίῳ · καὶ εἰ μὲν[947] λευκαίνεται τὸ πέταλον, ἀπαλύνεται καὶ μεταλλάττεται ἐκ τῆς οὐσίας[948] αὐτοῦ, καὶ γίνεται τέλειον, χρυσοῦ κάλλιον · εἰ δὲ οὔ, στράφηθι[949] πάλιν εἰς τὴν ἐργασίαν αὐτοῦ, ἤγουν τοῦ διοργανίζειν τὸ θεῖον ἔλαιον.

7. ΑΡΧΗ ΤΗΣ ΟΝΟΜΑΣΙΑΣ ΑΥΤΟΥ. — Καὶ ὁ μὲν κρόκος αὐτοῦ[950] λέγεται λέκιθος, καὶ χρυσοῦ σφαῖρα,

941. ὁποῖον δεῖ εἶναι E. — τῆς καμ. placé après τὸ πῦρ E, f. mel.
942. ἰάμβυξ A ; ἰάμβιξ E. Corr. conj.
943. καὶ στάκτης E.
944. πενιντάκις A. — κάτε γὰρ δέκα φορὰς] ἐν ἑκάστῃ δὲ δεκάτῃ φορᾷ E.
945. χροιᾷ E, f. mel.
946. λειώσεως E seul. — πύρωσον E.
947. καὶ κατάβ. E. — ἕως ἑπτάκις placé après ἐλαίῳ E.
948. καὶ ἁπαλ. E.
949. καὶ γίνεται τέλειον — θεῖον ἔλαιον] Réd. de E : καὶ γίν. τέλειος ἄργυρος, καλόν ἐστιν, εἰ δὲ μὴ, διοργάνιζε πάλιν τὸ θ. ἔλαιον. — εἰ δὲ οὖν A.
950. § 7] Cp. 1, 3 et 4. — καὶ ἀρχὴ A.

κιννάβαρις, καὶ κιλίκιος κρόκος,[951] καὶ ὤχρα ἀττικὴ, καὶ γῆ σινώπη, καὶ νίτρον πυρρὸν, καὶ νίτρον[952] αἰγύπτιον, καὶ ἁρμενιακὸν, καὶ χάλκανθον, καὶ ἔλαιον. Τὸ δὲ ἐξ αὐτοῦ[953] ἔλαιον, ὅταν σαπῇ καὶ διοργανισθῇ, λέγεται θεῖον ἔλαιον, καὶ οἶνος[954] ἀμιναῖος, καὶ κιννάβαρις τῶν φιλοσόφων, καὶ κόμαρις, καὶ θεῖον[955] ἄθικτον, καὶ ῥεφάνιον, καὶ κίκινον, καὶ χρυσοζώμιον, καὶ μήλινον,[956] καὶ λινέλαιον, καὶ θεῖον ἄπυρον, καὶ σανδαράχην, καὶ ἀρσένικον, καὶ κομμιάκιον, καὶ ἀριστολοχία, καὶ μανδραγουρέλαιον, καὶ ῥέου,[957] καὶ ἐλυδρίου, καὶ ὕδωρ πορφύρας, καὶ ἄνθους χαλκοῦ, καὶ χρυσαυγὲς,[958] καὶ ἀμιάντου, καὶ στυπτηρία ἐξυπορηθεῖσα (?), καὶ ὑδράργυρος ἀνατολική.[959]

8. ΑΛΛΗΣ ΦΥΣΕΩΣ. — Τὰ αὐτὰ πνεύματα, καὶ ὕδατα,[960] καὶ μαργαρίτας, καὶ λίθους τιμίους ἐκάλεσαν οἱ φιλόσοφοι · μεγάλης γὰρ δυνάμεώς εἰσιν ἔμπλεα · ἐὰν γὰρ ἐργάσῃς αὐτὰ ὥστε φέρειν τὴν[961] φύσιν ἔξω τὴν ἔνδον κεκρυμμένην, τότε ἔφθασας τὸ μυστήριον τῶν[962] φιλοσόφων. Αὕτη ἐστὶν

951. λέκυνθος A ; λέκυθος E. — κιννάβαρις om. E.
952. πυρὸν AE. Corr. conj.
953. καὶ νίτρον ἁρμ. E. F. l. καὶ < κυάνεον > ἁρμ. Cp. 1, 3, 5.
954. συπῇ A.
955. ἀμηνέος A ; ἀμυναῖος E. Corr. conj. — κώμαρος E.
956. καὶ ἔλαιον ῥαφάνικον, καὶ ἔλαιον κίκ., καὶ χρυσ., καὶ ἔλαιον μήλ.
957. καμάκιον A. — ῥοιοέλαιον καὶ ἐλυδριοέλαιων E.
958. καὶ ἄνθυχαλκοῦ A ; om. E. — καὶ ὕδωρ χρυσαυγὲς E.
959. καὶ ὕδωρ ἀμίαντου E. — ἐξύποριθῆσα A ; ἐκσηπτωθεῖσα καὶ ἐκπωρηθεῖσα E. — καὶ ἀνατολικὴ A.
960. ἄλλης γὰρ φύσεως A.
961. ἐργάσῃ E. — ὥστε] ὡς δὴ τοῦ A.
962. τότε om. E. — ἔφθασαν A.

ἡ κεφαλαίωσις τοῦ μυστηρίου, καὶ οὕτως[963] λευκαίνεται, καὶ πάλιν ζανθοῦται, καὶ γίνεται χαλκὸς κύπριος ὁ κεκαυμένος χαλκὸς, ἤτοι τὸ σῶμα τῆς μαγνησίας, περὶ οὗ φασιν[964] · « Ἡ μαγνησία οἰκονομηθεῖσα οὐκ ἐᾷ ῥήγνυσθαι (f. 228 v.) τὰ σώματα · τὸν χαλκὸν λευκαίνει, τὸν σίδηρον μαλάττει, τὸν κασσίτερον ἄρρευστον τοῦτον ποιεῖ, τὴν ὑδράργυρον χρυσὸν ἀποκαθίστησι.[965] »

9. ΑΡΧΗ ΤΗΣ ΕΡΓΑΣΙΑΣ ΤΟΥ ΠΥΡΟΣ. ΣΤΟΙΧΕΙΟΝ ΤΡΙΤΟΝ · ΤΟ ΠΥΡ.[966] — Εἶτα λάβε τὸ πῦρ, ἤγουν τὸν χαλκὸν τὸν κεκαυμένον, ἤτοι τὴν ἐν τῷ πατελλίῳ τῶν κεκαυμένων ὠῶν τέφραν, λειότριβε συνεχῶς ἐν ἡλίῳ ὅλην[967] τὴν ἡμέραν, ὑγραίνεται γὰρ κατὰ μικρόν · καὶ ὁ καπνὸς αὐτοῦ ἄρχεται ἐκλείπειν. Εἶτα πότιζε αὐτὸν, καὶ τρίβε καὶ ξήραινε ἐν ἡλίῳ, ἢ ἐν[968] θερμοσποδιᾷ, ἢ φούρνῳ μετὰ τοῦ θείου ὄξους, τρὶς τῆς ἡμέρας, καὶ[969] τοῦτο ἔσῃ ποιῶν μέχρις ἂν καταντήσῃς εἰς σημεῖον τοιοῦτον · γελάσει[970] σοι ἄργυρος ἐν τῇ χώνῃ ῥίπτε ἐπάνω ἐκ ταύτης τῆς τέφρας · καὶ εἰ μὲν[971] χρυσανθῇ, καλόν · εἰ δὲ οὔ, στράφηθι

963. καὶ αὕτη E.
964. ἤ τοι] ἤ τι E ; ἤγουν E. — φασὶ πάντες ὅτι ἡ μαγν. E. — Cp. 2, 1, 23.
965. ὑδράργυρον] signe de l'argent A.
966. τοῦ πυρὸς A.
967. ἤτοι] ἤ τι A ; ἤως (pour ἤγουν) E. — τέφραν suppléé par E (τῶν ὠῶν τῶν κεκ. τέφραν). — ὅλην τὴν ἡμ. ἐν ἡλίῳ E.
968. ξήρανον E.
969. ἢ ἐν φ. E.
970. γελ. σοι ἄργυρος] ἤγουν λείωσον τὸν ἄργυρον E.
971. τῆς τέφρας suppléé par E. — χρυσωθῇ E.

εἰς τὴν αὐτοῦ ἐργασίαν.[972]

10. ΚΑΙ ΑΡΧΗ ΤΗΣ ΕΡΓΑΣΙΑΣ ΤΗΣ ΓΗΣ, ΗΤΟΙ ΤΗΣ ΠΑΓΚΡΑΤΟΥΣ ΑΣΒΕΣΤΟΥ. ΣΤΟΙΧΕΙΟΝ ΤΕΤΑΡΤΟΝ · Η ΓΗ. — Λειοτρίβησον τὰ κέλυφα τῶν ὠῶν, καὶ ἀπόστυφε αὐτὰ νίτρῳ καὶ ὕδατι ἡμέραν α΄. Εἶτα ἀπόκλυζε αὐτὰ πολλάκις διὰ γλυκέως · εἶτα ξήρανον καὶ λειοτρίβησον ὡς χοῦν[973] · εἶτα βάλε ἰσοστάθμῳ ὕδατι ὠῶν, καὶ ἄφες ἐν φούρνῳ ἀρτοποιοῦ,[974] ἢ θερμοσποδιᾷ ἕως ξηράνσεως ἡμέρας ζ΄. Εἶτα ἐξελὼν, λειοτρίβησον[975] αὖθις, καὶ ἴσον ὕδατι ὠῶν μίξας, πάλιν φιμώσας, ἔα ἐν φούρνῳ ἡμέρας[976] ζ΄ · καὶ οὕτω ποίησον ἕως τρισσάκις. Εἶτα λειοτρίβησον, ἐν ἡλίῳ[977] πολλάκις ξηράνας, καὶ ποτίζων ἄχρις ἡμερῶν γ΄ · τῇδε ἑξῆς, λειοτρίβησον,[978] καὶ βάλε εἰς ἄγγος, καὶ φίμωσον, καὶ δὸς καμίνῳ ὑελουργικῷ ἡμερονύκτια δύο, καὶ ἐκβαλὼν, εὑρήσεις κιμωλίαν χλωράν. Ταύτην[979] (f. 229 r.) δὲ πάλιν λειοτριβήσας καὶ ποτίσας πολλάκις τῆς ἡμέρας,[980] ὄπτησον ἐν πυρὶ κόπρου · καὶ τοῦτο τρὶς ἢ πεντάκις ποιήσας, εὑρήσεις αὐτὴν ψιμμίθιον λευκότατον. Εὑρήσεις δὲ αὐτῆς τὸ τέλειον εἰ λευκάνεις ἐπὶ χώνης τὸν χαλκόν · εἰ δὲ οὔ, στράφηθι εἰς τὴν ἐργασίαν αὐτῆς.[981]

972. εἰ δὲ οὖν A ; εἰ δὲ μὴ E. Corr. conj.
973. διὰ γλυκέος ὕδατος E.
974. ἰσόσταθμον ὕδωρ E.
975. ἢ θερμοσποδιᾶς A ; ἢ ἐν θερμ. E.
976. καὶ om. E (seul). — ὕδατος E. — καὶ φιμώσας ἔα πάλιν ἐν φ. E.
977. τριάκις E (forme laconienne).
978. πότιζε E.
979. εἶτα ἔκβαλε καὶ εὑρ. E.
980. λειοτρίβησον E.
981. εἰ δὲ οὖν A ; εἰ δὲ μὴ E.

11. ΟΝΟΜΑΤΟΠΟΙΑ ΤΗΣ ΓΗΣ. — Ταῦτα ἐκάλεσαν οἱ σόφοι θείαν[982] ἄσβεστον, γῆν χείαν, γῆν ἀστερίτην, στυπτηρίαν σχιστὴν, λιθάργυρον[983] λευκὴν, κιμωλίαν, στιλβίδα, ἀφροσέληνον, κόμμι, χάλκανθον, οὖρον[984] ἄρρευστον, ψιμμίθιον, ἀνδροδάμαντα ἀλαβάστρινον, ὀπὸν συκῆς καὶ τιθυμάλλου.

12. Η ΕΝΩΣΙΣ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΣΟΙΧΕΙΩΝ. — Πρόσχες, ὦ φίλε,[985] ἂν μὴ κατὰ τὸν εἰρημένον σοι τρόπον καλῶς οἰκονομήσῃς τὰ τέσσαρα στοιχεῖα, μὴ ἐπιχειρήσῃς τὴν ἕνωσιν αὐτῶν, ἵνα μὴ ἀκαίρως κομήσῃς,[986] σὺ δὲ αὐτὸς τὸν κάματον ὑποστῇς μόνος.

ΠΡΟΣΧΕΣ. — Λάβε ἀπὸ τοῦ ᾠκονομημένου πυρὸς μέρος ἓν, καὶ ἀπὸ[987] τῆς ᾠκονομημένης γῆς μέρη δ΄, καὶ λειώσας, βάλε εἰς ἄγγος, καὶ ἐπάνω βάλε τοῦ ᾠκονομημένου ἀέρος διπλάσιον τοῦ πυρός · καὶ κρέμασον[988] τὸ ἄγγος μέσον ἑτέρου μεγάλου ἄγγους ἔχοντος ὄξος δριμὺ, καὶ πώμασον τὸ ἄγγος, καὶ ἔα ἡμέρας τινὰς ἕως γένηται ὡς ζύμη.[989]

13. Γίνωσκε ὅτι τινὲς ἔβαλον μέρη δύο τῆς γῆς,[990] καὶ ἓν τοῦ πυρός[991] · καὶ ἄλλοι γ΄ τῆς γῆς, καὶ ἓν τοῦ πυρός

982. ὀνομ. ἂν εἴη τ. γ. A. — ταύτην E.
983. γῆ ἀστερίτης etc. A (nominatifs).
984. γῆν κιμ. E.
985. § 12] ELc omettent ce paragraphe.
986. εὐκερῶς A. Corr. conj. — κωμίσεις A. Corr. conj.
987. οἰκονομουμέν. E ici et l. suiv.
988. τὸ διπλ. E, mel.
989. ζύμην A.
990. γιν. δὲ E. — Lc met entre parenthèse tout notre § 13.
991. τρία μέρη τῆς γῆς.

· καὶ ἄλλοι δ′ καὶ πλείον < τῆς γῆς, > καὶ ἓν τοῦ πυρός. Καὶ ταῦτά εἰσι πάντα καλά · ἀλλὰ τὸ κρεῖττον τὸ ἄνωθέν ἐστιν εἰρημένον.

14. Τοῦτο δὲ πρὸς σέ, ὦ φίλε, γεγράφαμεν, ἔξω τοῦ φθόνου ὄντες, ἵνα μὴ πλανηθῇς. Μετὰ δὲ τὸ γενέσθαι ὡς ζύμην τὸ σύνθημα, ἐξελὼν, ὄπτησον εἰς ἐλαφρὰν (f. 229 v.) πύραν, ἵνα ξηρανθῇ. Εἶτα πάλιν [992] τρίψον αὐτὸ ἐν ῥωμαίῳ μαρμάρῳ, καὶ βάλε ἐν τῷ ἄγγει, καὶ βάλε καὶ ἐκ τοῦ ἀέρος διπλάσιον τοῦ πυρός · καὶ ἀπαιώρησον ὡς καὶ πρώην τὸ ἄγγος μέσον τοῦ ὄξους · καὶ οὕτως ποίει κατὰ τὸν ἄνω τύπον μέχρι [993] καὶ φορὰς ζ′ · κάτε φορὰν δὲ βάνε διπλάσιον τοῦ πυρὸς τὸν ἀέρα · μετὰ [994] δὲ τὴν ζ′, ἐξελὼν, ξήρανον καὶ λειοτρίβησον μετὰ διπλοῦ τῆς γῆς τοῦ [995] ἀέρος · καὶ βάλε τὸ ἄγγος εἰς σαρζεῖν (?) ἡμερονύκτιον. Εἶτα ἐκβαλὼν, [996] σκόπησον τί χροιᾶς ἐστί · καὶ εἰ ἐνήλλακται ἡ χροιὰ αὐτοῦ, σκόπησον ὅτι ἤρξατο τῆς ὁδοῦ πορεύεσθαι · εἰ δὲ οὔ, στρέψον αὐτὸ εἰς τὴν [997] ἐργασίαν αὐτοῦ ἕως φέρῃ θεωρίαν ἑτέραν · καὶ οὕτως ἐξελὼν, λειοτρίβησον [998] χωρὶς τοῦ ἀέρος, ἀλλὰ μίξον τὸν ἀέρα, καὶ τὸ θεῖον, ἤγουν τὸ [999] ὄξος θεῖον μετ’ αὐτοῦ

992. λαφρὰν A (néogrec).
993. τύπον] F. l. τρόπον.
994. καὶ φορὰς] ὡρῶν E. — κάτε φορὰν] καθεκάστην δὲ φορὰν E. — βάνε] βάλε E ; βάλλε Lc. — τὸν ἀέραν A ; ἐκ τοῦ ἀέρος E. — μετὰ δὲ τὴν ἑβδόμην ὥραν E.
995. μετὰ τοῦ διπλοῦ E.
996. σαρζεῖν] κόπρον E.
997. εἰ δὲ οὖν A, ici et plus loin ; εἰ δὲ μὴ E (plus correct).
998. ἕως ἂν E, ici et plus bas.
999. ἤγουν] ἤως E.

λειότριψον πολλάκις τὴν ἡμέραν · εἶτα σῆψον[1000] πάλιν, ὡς ἀνωτέρω προείπομεν, εἰς ἄγγος μετὰ ὄξους δριμέως ἡμέρας δύο · λύεται γὰρ ὡς ὕδωρ · καὶ οὕτως γενόμενον ἔκβαλε τοῦ ὄξους, καὶ πῆξον[1001] ἐν μαλθακῷ πυρὶ καὶ ἀρτίῳ, ἕως εἰς λίθον κηροῦ στερεωτάτου πήξῃ.[1002] Καὶ οὕτως ἔχε Θεοῦ χάριν ἄφθονον εἰς αὐτοῦ τιμὴν καὶ πενίας λύσιν.[1003]

✴

✴✴

1.2.3 5. — 3. ΠΕΡΙ ΒΑΦΗΣ ΣΙΔΗΡΟΥ.

Transcrit sur M, f. 104 r. — *Collationné sur* B, f. 175 v. (§§ 1 et 4) ;— *sur* A, f. 157 r. (§§ 1 et 4). — *Les* §§ 1 *et* 4 *seuls sont contenus aussi dans Laur. — Sauf indication spéciale, les variantes de* A *peuvent être considérées dans ce morceau comme étant communes à ce ms. et à* B, *dont* A *paraît être une copie directe.*

1. Βαφὴ σιδήρου ἐστὶν ἡ σχεδὸν ἅπασι γνώσει τε λεπτὴ χρήσει τε[1004] πολλή. Ἐπειδὰν κέρας (?) αἰγὸς λαβὼν, πυρί τε καύσας καὶ τρίψας, ἅλατος[1005] ἐνώσῃς διπλασίῳ, οὐ τῇ

1000. τὸ ὄξος τοῦ θείου E. — λειοτρίβησον E. — τῆς ἡμέρας E, mel. σύψον A ; στύψον E.
1001. τὸ ὄξος E.
1002. κηροῦ om. E. — στερεώτατον E.
1003. ἄφθονόν τε εἰς αὐτὸ E.
1004. F. l. ληπτὴ.
1005. ἐπειδ' ἂν MA, ici et partout. — Au-dessus du signe de κέρας (?) : κε A.

ὀλκῇ μόνον, τῷ δέ γε μεγέθει, ὕδατί τε τῷ γνωρίμῳ προσβαλὼν, καὶ φυράσας τοσοῦτον, ὥστε τὴν μίξιν δίυγρον [1006] γενέσθαι · ἔξεστι γάρ σοι μετὰ ταῦτα ξίφος οἷον δ' ἂν καὶ βούλῃ, ἐπαλείψαντα κατά γε τὸ καλούμενον στόμα, καὶ ἄνθραξιν ἐμβάλλοντα, [1007] ἱκανῶς γέ (f. 104 v.) πως πυρακτῶσαι · μετὰ δὲ ταῦτα γνωρίμῳ ὕδατι ἐπιρρίψαν, ἐστομωμένον βαφικῇ στομώσει ἔχειν τὸ ξίφος. Κοινὴ δὲ, ὡς εἴρηται, αὕτη καὶ πασίγνωστος ἐγγὺς ἡ βαφή. Ἡ δὲ εἰς ὕδωρ [1008] ἐπίρριψις οὐχ ἁπλῆ τις εἴη, ἀλλὰ πρὸς τὴν τοῦ ξίφους κατά τε τὸ σχῆμα καὶ τὴν χρῆσιν διαφοράν. Ὅσα μὲν γὰρ λιθουργικὰ, καὶ ἁπλῶς, ὅσα οὐκ εἰσάγαν ὀξὺ τὸ λεγόμενον ἔχει στόμα, ταῦτα ἁπλῶς μετὰ τὴν ἐκπύρωσιν ὕδατι ἐπιρρίπτονται · ὅσα δὲ τοὐναντίον, οἷον αἵ τε λεγόμεναι μάχαιραι καὶ αἱ σπάθαι, οὐχ ἁπλῶς, ἀλλ' ἢ ῥάκους τινὸς [1009] ἀναδευθέντος τῷ ὕδατι, ἢ τοῦ ἐξ ἐρίου εἰς ὄμβρων ἐπίκλυσιν ἐπινενοημένου ὁμοίως ἀναδευθέντος, κατὰ τὸ λεγόμενον στόμα, ἐπιτιθέμενα [1010] στόματί τινι τούτων ἀπολαμβάνει, ἢ τὴν κατὰ τὴν βαφὴν στόμωσιν. [1011] Καὶ οὕτως μὲν αὕτη. [1012]

2. ΔΕΥΤΕΡΑ ΒΑΦΗ. — Ἔστι δέ τις καὶ ἄλλη βαφῆς ἰδέα, ἡ οὐ μόνον τὸ κοινὸν τῶν σιδήρων ἀποβάπτουσα, στίλβον

1006. μῖξιν M.
1007. ἐπαλείψαντι ... ἐμβάλλοντι ... ἐπιρρίψαντι B, f. mel.
1008. πᾶσι γνωστὸς B.
1009. ἀλλὴ M.
1010. στόμα om. M. — ἐπιτιθεμένου B.
1011. στόματι τινι om. B. — ἀπολαμβάνειν B. — τὴν βαφὴν μετεωριζομένου καὶ οὕτω τιθεμένου B.
1012. καὶ οὕτως μὲν αὕτη] mots omis dans BA qui passent immédiatement à la 4e trempe.

τε καὶ λαμπρότερον ἥπερ ἡ προειρημένη βαφὴ, ἀπεργάζεται, ἀλλά γε καὶ τὸν ὀνομαζόμενον[1013] ἰνδικὸν παραπλησίως ἢ μικρὸν πλέον στομοῦσα. Σμήχουσι τὴν κεφαλὴν ἔνιοι μὲν λευκογέω, τῶν ὀρνίθων δὲ τοῖς ὠοῖς ἕτεροι, καὶ ἄλλοι ἄλλοις, ἢ ἁπλοῖς καὶ τοῖς ἐκ φύσεως, ἢ συνθέτοις, καὶ τοῖς ἐκ τέχνης. Ἕν τι τῶν σμηχόντων ἐκ τέχνης ἐστὶ καὶ ἡ τῆς τοιαύτης βαφῆς ἰδέα ἢ[1014] σκευάζεται ἔκ τε τῆς < πυρᾶς > ἀπὸ ξύλων · εἰ καὶ μὴ ἀπὸ πάντων τέφρας, ἐλαίου τε καί τινων ἑτέρων. Οὐκ ἄδηλόν ἐστι τοῖς πολλοῖς ὃ λέγω. Τοῦτο δὴ οὖν λαβὼν καὶ ἐκκαύσας (f. 105 r.) καθάπερ καὶ ταῖς χρυσοχοϊκαῖς χρήσεσιν ἐκκαίεσθαι εἴθισται, ἄλατι τε ἐνώσας τριτημόριον ὁλκὴν ἕλκοντι. εἰ δέ γε πάνυ εἴη ὁ σίδηρος τῶν εὐέκτων καὶ ἡμίσειαν, ἐπαλείψας τὸ τοῦ σιδήρου καλούμενον στόμα, πυράκτωσον. Εἶτα κατὰ τὸν προϋφηγημένον σοι τρόπον, πρός τε τὴν τοῦ σχήματος διαφοράν, καὶ τὴν χρῆσιν τῶν ὀργάνων, προσάγαγε τῷ ὕδατι. Ἔστω δέ σοι γνωστὸν ὡς εἴ γε ὡς εἰκὸς εὔθραυστον συμβῇ τὸ στομωθὲν διὰ τὴν σκληρότητα, ἐλαίῳ ἐμβαλὼν ἢ ἀκαύστῳ καὶ ἀμίκτῳ παντελῶς τῷ σμήγματι, ἀποκαταστήσεις τὴν συμμετρίαν ἁρμόζουσαν · ἕξεις γὰρ,[1015] οὕτω ποιῶν καὶ ἐργαζόμενος, ἀποτελεσθέν σοι καθαρῶς τὸ βούλημα.

3. ΤΡΙΤΗ ΒΑΦΗ. — Φθέγξομαι δή που βαφὴν τῆς μυστικῆς ἐχέγγυον φιλοσοφίας · ξένον γὰρ τὸ χρῆμα τῇ γνώσει, καὶ θαυμαστὸν τῇ καταλήψει, χρῆμα δυσεύρετον καὶ

1013. ἥπερ M. Corr. conj.
1014. ἢ σκ. M. Corr. conj.
1015. σμίγματι M. Corr. conj. — ἕξεις M, ici et presque partout.

πασίγνωστον, περισπούδαστον τῇ φύσει, εἰ καὶ τοῖς ἀνθρώπων πλείστοις εὐκατάγνωστον. Οὐ γὰρ πᾶσι τίκτει μὲν τοῦτο γῆ, οὐκ ἀπὸ τῆς χείρονος μοίρας, ἀλλ' ἐκ τῆς λεπτῆς καὶ διειδεστάτης καὶ ἀνωφεροῦς · συνεργεῖ δὲ τῶν ὄντων τὸ [1016] τίμιον, χρυσόν · τίκτουσα δὲ, οὐκ ἀπωθεῖται, ἀλλ' ἐν τοῖς κόλποις [1017] ἴσχουσα τροφῆς ἐμπιπλᾷ · οὐκ ἐν τούτῳ δὲ μόνῃ, ἀλλ' ἔχει κἀν τούτῳ [1018] τὸν χρυσὸν κοινόν. Τί οὖν τοῦτο ; πολλὰ γὰρ τοιαῦτα, ὑγρὸν, πεπηγός · οὐχ ὅτι μετὰ τὴν γέννησιν πέπηγεν, ἀλλ' ὅτι πηκτὸν τὸ λυσίσωμον [1019] καὶ σωματοειδὲς, τὸ παντόρευστον, καὶ ἄρρευστον καὶ αὐτόρρευστον · τοῦτο οὖν ὃ ἐγὼ λέγω, οὐκ ἔστιν ἄλλο ἢ τοῦτο · (f. 105 v.) τοῦτο λαβὼν τὸ μυστήριον, διάστησον κατὰ μικρὸν, διαστήσας δὲ ὕδατι ἐθίμῳ καὶ κοινῷ, ἐπαφιείς τε ὀλιγίστῳ ὅσον δίυγρον γενέσθαι, ἕξεις τὴν μυστικὴν σιδήρου βαφήν. Ἐν αὐτῇ δ' οὖν καθὼς κἀν ταῖς ἄλλαις [1020] νενόμισται τῇ φύσει βαφαῖς ἐνεργοῦν ὄψει παράδοξον. Ἔσται γάρ σοι στερρὸς ἐν πᾶσι καὶ ἀκάματος ὁ καταβαφεὶς σίδηρος, σιδηρωλέτης [1021] · τοῦτο καὶ μαρμάρων σιδηροφάγων δουλεύει γένη καὶ ὑποτάσσεται. Αὕτη ἐστὶν ἡ μυστικωτάτη βαφὴ, τὸν ἰνδικὸν ἐκβάπτουσα σίδηρον. Σκόπει δὲ · ἂν γὰρ ᾖ λίαν σκληρὸς ὁ μέλλων στομοῦσθαι σίδηρος, μὴ προσφέρῃς αὐτῷ ἀκράτῳ, καὶ, ὡς εἴπομεν, τῷ μυστηρίῳ. Ἐκδα-

1016. F. l. ληπτῆς.
1017. τίμιον] F. l. τιμιώτατον.
1018. κἂν M, ici et partout.
1019. γέννεσιν M.
1020. σιδήρου en signe. F. l. σιδηροβαφήν.
1021. καταβαφὴς M. Corr. conj.

πανεῖ γὰρ καὶ καταθραύει ἅπαν τὸ ἀντιστατοῦν · ἀλλ' οἰκονομήσας δι' ἐξελαιώσεως, ἢ δι' ἐπομβρίας ἱκανῶς, οὕτω χρῶ τοδὶ ἐπὶ ποσὸν ἡ διὰ πείρας [1022] τριβὴ ἀταλαιπώρως ἐκδιδάξει.

4. ΤΕΤΑΡΤΗ ΒΑΦΗ. — Τετάρτη δὲ πρὸς τοὺς εἰρημένους κρείσσων [1023] τε καὶ ἀγνωστοτέρα καὶ θαυμασιωτέρα τῶν εἰρημένων, ἔτι δὲ καὶ [1024] ἁπλουστέρα. Ἐπεὶ γὰρ τὸ τίμιον ζῷον ὁ ἄνθρωπος, ὅρα οἷαν ἐν θνητοῖς [1025] ἔλαχεν δόξαν · πολλὰ μὲν γὰρ ἂν ἔχοι τις τῶν αὐτοῦ ἀπαριθμεῖν γέμοντα θαύματος. Ὁμῶς δ' οὖν ἐκεῖνο χρεὼν εἰπεῖν ὃ τὴν βαπτικὴν καὶ στομωτικὴν δύναμιν εἴληφεν. Πολλὰ μὲν ὁ ἄνθρωπος, καὶ πολλαχόθεν [1026] τὴν τῶν περιττωμάτων ποιεῖται κένωσιν · διχόθεν δὲ μάλιστα δι' ὧν καὶ τὰ κενούμενα πλείω φέρεται. Οὐ τὸ αὐτὸ δὲ τῶν περιττωμάτων ἀμφοτέρωθεν ἀπορρέον, τὸ μὲν ὑγρὸν, τὸ δὲ ξηρὸν ἀπεκληρώθη καλεῖσθαι. Ἔχει μὲν ἑκάτερον αὐτῶν μυρίας καὶ παντοδαπὰς τὰς [1027] ἐνεργείας καὶ (f. 106 r.) δυνάμεις · καί γε περιττώματα καὶ ἀχρεῖα ἐν ἀνθρώπῳ ὄντα · ἔχει δὲ μετὰ τῶν ἄλλων τὸ ὑγρὸν περίττωμα τὴν βαπτικήν τε καὶ στομωτικὴν σιδήρου δύναμιν · μόνῳ γὰρ σίδηρος κάλλιστος ἀπο-

1022. ἡ] ἢ M. — ἐπιπόσον M.
1023. ἑτέρα βαφὴ B. — τετάρτη — εἰρημένους] αὕτη B. — F. l. πρὸς τοῖς εἰρημένοις.
1024. εἰρημένων] πολλῶν B. — ἔτι δὲ κ., ἁπλ. om. B.
1025. F. l. τιμιώτατον. — οἷαν M ; ὁποίαν B.
1026. εἴληχεν B, f. mel.
1027. μὲν] γὰρ B. F. l. μὲν γὰρ.

τελεῖται · ἡ δὲ σιδηροβαφὴ γίνεται, καθὼς κἀν τῷ[1028] πρὸ αὐτοῦ εἴρηται, πρὸς τὴν διάφορον τῶν σιδήρων χρῆσίν τε καὶ τὸν σχηματισμόν · πᾶσι δὲ, ὡς καὶ κατ' ἀρχὰς ἐρρήθη, προτερεύει τῶν[1029] πρὸ αὐτοῦ ἡ σιδηροβαφὴ τοῖς πλεονεκτήμασιν.[1030]

✶
✶✶

1.2.4 5. — 4. ΒΑΦΗ ΤΟΥ ΠΑΡΑ ΠΕΡΣΑΙΣ ΕΞΕΥΡΗΜΕΝΟΥ ΧΑΛΚΟΥ ΓΡΑΦΕΙΣΑ ΑΠΟ ΑΡΧΗΣ ΦΙΛΙΠΠΟΥ.[1031]

Transcrit sur M, f. 118 r. — *Collationné sur* B, f. 173 v. ;— *sur* C (*copie de* B), f. 120 r. ;— *sur* A, f. 155 v. ;— *sur* K (*copie de* A), f. 39 r.

1. Λαβὼν θουθίας ὅσον βούλει ἀνωτέρας, λείωσον καὶ κοσκίνισον[1032] λεπτοτάτῳ κοσκίνῳ · καὶ βαλὼν εἰς σκεῦος ὀστράκινον, ἐπίβαλλε ἔλαιον οἷον βούλει ἐπ' αὐτὴν, εἴτε

1028. σιδηροβαφὴ] signe du fer suivi d'un η. Corr. conj.
1029. δέως M. — καταρχὰς M. — προτερεύειν mss.
1030. ἡ om. B.
1031. Après Φιλίππου] BCAK (= B etc.) ajoutent : τοῦ τῶν Μακεδόνων, οἷος ὁ ἐν ταῖς πύλαις τῆς ἁγίας Σοφίας. Puis, en sous-titre : Ποίησις χαλκοῦ ξανθοῦ. — Ce morceau a été publié et traduit en latin par Chr. G. Gruner, Zozimi fragmenta, 4, 1803, in-4°. (Faculté de médecine de Paris, collection in-4° n° 68, art. 17.)
1032. τουτίας B etc. — ἀνωτέρας om. BC ; ἀνωτάτης AK.

κοινὸν, εἴτε σησάμινον · καὶ ἀνάλαβε ταῖς χερσὶ, προσμιγνύων τῇ θουθίᾳ τὸ ἔλαιον καὶ τρίβων ἐν τῷ ὀστρακίνῳ[1033] ἀγγείῳ, ἕως ἂν πλησθῇ ἡ θουθία τοῦ ἐλαίου, καὶ μηκέτι συμπίῃ τὸ[1034] ἔλαιον. Καὶ ὅταν ἴδῃς ὅτι συνέπιεν τὸ αὖταρκες, ἐπιβάλλεις αὖθις καὶ προσμιγνύεις ἐκ τοῦ αὐτοῦ ἐλαίου, ἕως γένηται πηλῶδες. Καὶ λαβὼν ἀπὸ τοῦ φοινικοπαστίλλου τοῦ ἐρυθροῦ τοῦ λεγομένου νατὴφ ἐν Ἀράβοις, τὸ πέμπτον μέρος τῆς θουθίας, βάλε αὐτὸ ἐπάνω τῆς προμαλαχθείσης[1035] θουθίας (f. 118 v.) ἐν τῷ ὀστρακίνῳ σκεύει, κατατεθραυσμένον εἰς μικρὰ μὴ πολυμερῆ, μήτε πάνυ μεγάλα · καὶ θερμάνας κλίβανον[1036] σφοδροτάτῳ πυρὶ, βάλε τὸ σκεῦος ἐν τῷ κλιβάνῳ, προσπηλῶν τὸ στόμα[1037] τοῦ κλιβάνου, ἕως τῆς ἐπαύριον, διότι μέλλει καίεσθαι καὶ γίνεσθαι ἡ θουθία μέλαινα. Καὶ ἐξαγαγὼν ἐπὶ τὴν αὔριον, τρίβε καὶ σῆθε λεπτῷ[1038] κοσκίνῳ.

2. Καὶ ὅτε θελήσεις βάψαι χαλκὸν ἀνώτερον οὗ κρείττων οὐ βάπτεται ἐν Περσίδι, λάβε δύο μέρη χαλκοῦ κυπρίου καλοῦ, καὶ ἓν ἐκ τοῦ προκατασκευασθέντος διὰ τῆς θουθίας ξηρίου. Καὶ κατάκλασον τὸν[1039] χαλκὸν ὅσα δύνῃ σμικρότατα μέρη, καὶ πρόσμιξον αὐτῷ τὸ ξηρίον[1040] · καὶ βαλὼν ἄμφω εἰς χώνην, φύσα σφοδρῶς, ἕως ἂν βράσῃ ὁ

1033. τοῦθια corrigé en θουθία B. — θουθία M.
1034. ἀγγεῖον M.
1035. θουτίας M. — βάλε — θουθίας om. B etc. ; hab. Gruner.
1036. πολλὺ μέρη M.
1037. προπηλῶν B etc., f. mel.
1038. μέλανα M.
1039. κατάκλασον] τέμε B etc.
1040. εἰς ὅσα B etc. — σμικρὰ B etc.

χαλκὸς μετὰ τοῦ ξηρίου · καὶ ὅτε βράσει, προστιθεὶς αὖθις κάρβωνα μετὰ[1041] φύσης πολλῆς, ἕως ἐνωθῶσιν ἄμφω. Καὶ ἐὰν θέλῃς γνῶναι τὸ κάλλος τῆς χροιᾶς, λάβε σιδήριόν τι ἀκροσκόλιον, καὶ ἐξάγαγε διὰ τοῦ ἄκρου αὐτοῦ, καὶ θέασαι · καὶ εἰ μὲν ἀρέσει τὸ χρῶμα, παύεις τὴν φύσαν · εἰ[1042] δὲ οὔπω ἤρεσεν, πρόσθες φύσαν καὶ κάρβωνα · ἡ γὰρ διὰ τῶν καρβόνων φύσα ὁπόσον ἂν πλεονάσῃ, βέλτιον ἀπεργάζεται τὸ προκείμενον.

✶
✶✶

1.2.5 5. — 5. ΒΑΦΗ ΤΟΥ ΙΝΔΙΚΟΥ ΣΙΔΗΡΟΥ, ΓΡΑΦΕΙΣΑ ΤΩ$_{\text{I}}$ ΑΥΤΩ$_{\text{I}}$ ΧΡΟΝΩ$_{\text{I}}$.

Transcrit sur M, f. 118 v. (*suite*, f. 104 r.) — *Collationné sur* B, f. 175 r. ;— *sur* A, f. 156 v. ;— *sur* K, f. 39 v. — *Contenu aussi dans* C (copie directe de B), *dans le ms. de Vienne, art.* 17, *et dans Laur., art.* 44.

1. Λαβὼν σιδήρου ἀπαλοῦ λίτρας δ′, κατάτεμε εἰς μικρὰ μέρη · καὶ λαβὼν φλοιὸν φοινικοβαλάνου τοῦ λεγομένου ἐλιλέγ ἐν Ἀράβοις,[1043] σταθμὸν μιλ ιε′, καὶ σταθμὸν μιλ

1041. κάρβονα M, ici et partout. — Après κάρβωνα] B etc. aj. : διερέθιζε τὸ πῦρ.
1042. παῦε B etc. ; παύειν Gruner, avec cette note : *subint.* δεῖ. — εἰδ' οὖν πρόσθες B etc.
1043. φλυὸν M, ici et plus loin. — ἐλίλεγ BCAK (= B etc.). — Ἄραφι B etc. — μιλ] μερ AK, ici et plus loin.

δ′ βελιλὲγ ὁμοίως κεκαθαρμένου ἀπὸ τῶν ἐντὸς, ἤτοι τὸν φλοιὸν μόνον, καὶ (f. 104 r.) ἀμβλὰγ ὁμοίως[1044] κεκαθαρμένου μιλ δ′ · καὶ μαγνησίας ὑελουργικῆς ἀνωτέρας θηλυκῆς[1045] μιλ β′, κόψον ὁμοῦ πάντα μὴ πάνυ λεπτῶς, καὶ πρόσμιξον ταῖς δ′ λίτραις τοῦ σιδήρου · καὶ βάλε εἰς χώνην · καὶ ἴσασον τὸν τόπον τῆς χώνης πρὸ τῆς ἐκκαύσεως · εἰ γὰρ μὴ οὕτως ποιήσεις, ὥστε μὴ κινεῖσθαι αὐτὴν τῇδε κἀκεῖσε, ἀνάγκη ὑφιστάσαι ἐν τῇ χωνείᾳ. Εἶτα μετὰ τοῦτο ἐπίβαλλε τὰ κάρβωνα, καὶ ὄξυνον τὴν χώνην, ἕως λυθῇ ὁ σίδηρος, καὶ[1046] ἐνωθῶσιν αὐτῷ τὰ εἴδη. Χρῄζουσι δὲ αἱ τέσσαρες λίτραι τοῦ σιδήρου καρβώνων λίτρας ρ′.

2. Πρόσεχε δὲ ὅτι, ἐὰν ἔστιν ὁ σίδηρος ἀπαλώτερος, οὐ χρῄζει τὴν μαγνησίαν, ἀλλὰ μόνα τὰ λοιπὰ εἴδη. Ἡ γὰρ μαγνησία ξηραίνει αὐτὸν εἰς ὑπερβολὴν, καὶ γίνεται θρυπτός. Εἰ δέ ἐστιν ἁπαλὸς, χρεία αὐτῆς μόνον, ἵνα ἔστιν ἀνωτέρα · Αὕτη γὰρ τὸ πᾶν ἀπεργάζεται.[1047]

3. Αὕτη ἐστὶν ἡ πρώτη καὶ βασιλικὴ ἐργασία, ἣν ἐπιτηδεύονται[1048] σήμερον, ἐξ ἧς καὶ τὰ θαυμάσια ξίφη τεκταίνονται. Ηὑρέθη δὲ ὑπὸ τῶν Ἰνδῶν, καὶ ἐξεδόθη Πέρσαις, καὶ παρ' ἐκείνων ἦλθεν εἰς ἡμᾶς.[1049]

1044. ἀμβλὲγ BC (B mg. : *ambleg*) ; ἀμβι λὲγ A ; ἀμβιλὲγ K.
1045. ὑελ. ἀνωτ. om. B etc.
1046. λυθῇ] F. l. χυθῇ.
1047. ἵνα — ἀπεργάζεται om. B etc.
1048. ἣ ἐπιτηδ. σήμερον] ἣν ἐνεργοῦσι καὶ ἐν Ἰνδίᾳ B etc.
1049. ἦλθε καὶ εἰς ἡμᾶς B etc.

1.2.6 5. — 6. ΠΟΙΗΣΙΣ ΚΡΥΣΤΑΛΛΙΩΝ.[1050]

Transcrit sur M, f. 116 r. — *Collationné sur* A, f. 12 r. (= A^1) ;— *sur* A, f. 13 r. (= A^2) ;— *sur* A, f. 90 r. (= A^3) ;— *sur* K (*copie de* A^2 ; *mêmes variantes*). f. 4 r. ;— *Contenu aussi dans* Laur., f. 95 v., *et dans l'Ambrosien* (copie de M). — *Les variantes de* M *ont été reportées en marge ou au-dessus du mot dans K, de la main déjà signalée* (p. 36).

1. Λαβὼν ὠὰ ὅσα θέλεις, πλύνον μετὰ ὑδράλμης, καὶ ἀποσπόγγισον[1051] · καὶ πάλιν πλύνον μετὰ ὑδρονίτρου, καὶ τότε κλάσας, χώρισον τὰ[1052] ὄστρακα ἀπὸ τῶν ὑμένων αὐτῶν, καὶ τὰ κροκὰ παρὰ μίαν, καὶ τὸ λευκὸν παρὰ μίαν · καὶ σφάξας ὀρνίθια μαῦρα καὶ λαβὼν τὸ αἷμα,[1053] καὶ βαλὼν αὐτὸ εἰς ἐργαλεῖον, ἀνάσπασον ἀπ' αὐτοῦ τὸ ὕδωρ, θέλῃς[1054] ὑπὸ μαλθακοῦ πυρὸς, θέλῃς ὑπὸ ἀκαύστου πυρὸς. Καὶ φύλαξον αὐτοῦ[1055] τὸ κατόχημα καὶ τὸ ὕδωρ · καὶ ἐὰν φέρῃ

1050. Titre dans A^1 : περὶ κρυστάλλων ποιήσεως ;— dans $A^{2,3}$: περὶ κρυστάλων ποιήσεως ;— dans K : περὶ κρυστάλου ποιήσεως.
1051. θέλεις] βούλει A^1. — ∴ avant πλύνον M (signe tachygr. de ἀπὸ ?). — ἀπόπλυνον $A^{1,2,3}$ (= A) ; καὶ ἀποπλύνον Laur. — ὑδάρμης $A^{1,2,3}$.
1052. μετὰ ὕδατος, ἤγουν ὕδωρ νίτρου A^1 — τότε] αὐτὰ A^1.
1053. Ici et partout : παραμίαν M ; παραμιὰ A^1 ; παραμιᾶ $A^{2,3}$. — τὸ αἷμα αὐτῶν A^1.
1054. θέλεις ... θέλεις M ; θέλεις, ... εἰ θέλεις A^2 K.
1055. ἀύλου sur ἀκαύστου M ; à la suite dans AK.

καὶ ἔλαιον, καὶ ἔχε αὐτὰ[1056] εἰς σκιάν. Τὸ δὲ λευκὸν τοῦ ᾠοῦ καὶ αὐτὸ ἀνάσπασον διὰ πυρὸς, καὶ λάβε καὶ αὐτοῦ τὸ ὕδωρ καὶ τὸ ἔλαιον, καὶ ἔχε καὶ αὐτὰ παρὰ μίαν,[1057] καὶ τὸ κατόχημα ὁμοῦ ἔχων καὶ αὐτὰ εἰς σκιάν. Τὰ δὲ ὄστρακα σὺν[1058] τῶν ὑμένων τρίψας, καὶ βαλὼν εἰς δύο χωνία · καὶ χρίσας πηλῷ[1059] ἐντρίχῳ καὶ ψύξας, καῦσον εὐτόνως ὑπὸ ἀσκοφυσίων δύο, μέχρις ἂν[1060] ἀποκαχλάσωσιν, καὶ οὐκέτι ἀκούῃς τὸν καχλασμὸν αὐτῶν · ἐπὰν γὰρ διαγελάσῃ ἔσωθεν, ἔπαυσεν ὁ καχλασμὸς, καὶ ὡς ἐκ τούτου γνώσῃ ὅτι ἐψήθη, καὶ ἔασον αὐτὸ οὕτως ψυχρανθῆναι, καὶ κατάπαυσαι ἐν τῇ καμίνῳ · καὶ μετὰ τοῦτο κλάσας, εὑρήσεις ὕελον πράσινον.[1061]

2. Ὁμοῦ λαβὼν καὶ τὸ κατόχημα τοῦ λευκοῦ καὶ αὐτὸ βαλὼν εἰς δύο χωνία, καὶ ἐμπλάσας, καῦσον καὶ αὐτὰ ὁμοῦ, καὶ εὑρήσεις κίτρινον ὕελον, τὸ λεγόμενον βερονίκη.[1062]

3. Τὰ δέ κροκὰ < λαβὼν > καὶ αὐτῶν τὰ κατοχήματα βαλὼν εἰς δύο χωνία, καὶ καύσας, εὑρήσεις ὕελον ἄσπρον.

4. Ὁμοῦ δὲ καὶ τὰ κατοχήματα τοῦ αἵματος καύσας, ὁμοῦ εὑρήσεις[1063] ὕελὸν βένετον, τὸν λε- (f. 116 v.) γόμε-

1056. κατώχυμα AK, ici et partout.
1057. Après παραμιὰν] ὡσαύτως καὶ τὰ κροκὰ καὶ τὸ κατώχυμα A^1.
1058. ἔχε, καὶ τὸ ἔλαιον ἔχε ἐν σκιᾷ A^1, — σὺν pour μετὰ; σὺν avec le datif AK.
1059. τρίψας, καύσας A^1.
1060. ψύξας] τρίψας AK. — ὑπὸ] F. l. ἀπὸ.
1061. Après notre § 1, A^1 intercale ici le § 4 (voir plus bas).
1062. βερωνικὸν AK.
1063. Réd. du § 4 dans A^1 : Τὸ δὲ κατώχυμα αἵμ. καύ. καὶ αὐτὸ ὑπὸ ἀσκοφουσίων δύο δι' οὗ εὑρίσεις ὕελον βενετὸν τ. λεγ. κ.

νον κυανόν.

Titre ajouté ici dans les mss. $A^{1, 2, 3}$ K : Ὁ οἶκος ὁ περισυνάζων πάντα.[1064]

5. Ἐπὰν δὲ τὴν τετρασωμίαν ταύτην καύσῃς οὕτως παρὰ μίαν, καὶ παρὰ μίαν καὶ ποιήσῃς αὐτὰ ὑέλια, ἀπὸ τότε ἰσοστάθμισον τὰ ὅλα[1065] καὶ σύμμιξον καὶ συλλείωσον · καὶ βαλὼν αὐτὰ ὁμοῦ εἰς δύο χωνία, τουτέστιν ἐπάνω καὶ ὑποκάτω, χώνευσον. Τὰ γὰρ πάντα πρὶν γοργοτέρως[1066] ἔχουσιν καῆναι. Καὶ ἐπὰν ἀποκαχλάσωσιν καὶ διαγελάσωσιν, ἔασον πέψαι τὸ ἔργον καὶ ψυχρανθῆναι · καὶ ἀπὸ τότε ἔκβαλε καὶ τρίψον αὐτὸ ψιλόν · καὶ τότε φέρε τὰ ἔλαια τῶν ὅλων σωμάτων, καὶ σύμμιξον[1067] αὐτὰ, καὶ πότισον αὐτὰ, ποιῶν τὸ σύνθεμα ὥσπερ ζυμὴν παχεῖαν, συλλεαίνων τὸ ἔλαιον μετὰ τῶν ὑελίων, ἤγουν τῶν σωμάτων ἐκείνων. Καὶ ἀπὸ τότε ἔασον εἰς τὴν θυείαν, ἡλιάζων αὐτὸ εἰς τὴν αὐτὴν θυείαν μέχρις ἡμέρας γ΄ · ταύτην τὴν ζυμὴν, ἐπὰν ἡλιασθῇ, θέλεις παροπτῆσαι[1068] καὶ ποιῆσαι κιννάβαριν.[1069]

✶

1064. La leçon insérée ci-dessus est celle de A^3 mg. K ; ὁ οἶκος A^1 ; ὁ οἶκος ὁ περισυναξόμενος π. (F. l. παρασυνάζων) A^2 mg.
1065. ἀπὸ τότε] ἐκ τούτων AK.
1066. ταῦτα γὰρ $A^{2, 3}$ K.
1067. αὐτὸ ψιλὸν] αὐτὰ ὑψηλὰ A. — φέρε] F. l. ἀφαίρει.
1068. ἄχρις ἡμερῶν (γ΄ om.) A^1 ; ἄχρις. ἡμερῶν γ˜. $A^{2, 3}$ K.
1069. κιννάβαριν] F. l. χρυσὸν. Le signe du cinabre (voir Introd. de M. Berthelot, p. 108, l. 13 et *passim*) est aussi celui du soleil (Kopp, *Palæogr. critica*, 3, 334), et par extension celui de l'or.

✳✳

1.2.7 5. — 7. ΚΑΤΑΒΑΦΗ ΛΙΘΩΝ ΚΑΙ ΣΜΑΡΑΓΔΩΝ ΚΑΙ ΛΥΧΝΙΤΩΝ ΚΑΙ ΥΑΚΙΝΘΩΝ.

ΕΚ ΤΟΥ ΕΞ ΑΔΥΤΟΥ ΤΩΝ ΙΕΡΩΝ ΕΚΔΟΘΕΝΤΟΣ ΒΙΒΛΙΟΥ

Transcrit sur A (*copie de* B ?), f. 147 r. — *Collationné sur* B, f. 160 v. ;— *sur* K (*copie de* A), f. 33 r. (§§ 1-10). — *Contenu aussi dans* C (*copie directe de* B).

1. Λαβὼν κομάρου τοῦ δυσχερῶς εὑρισκομένου, ὅ Πέρσαι καὶ Αἰγύπτιοι τάλακ φασὶν, οἱ δὲ ταλὰκ, γ° C″, καὶ θείου γ° C″, καὶ [1070] ὕδατος θείου ἀθίκτου γ° ιη′, λείωσον τὸ κόμαρον καὶ ἔνωσον τῇ ὑδραργύρῳ · καὶ βάλε εἰς ἀνακλαστάριον ἀγγεῖον ὑάλινον, καὶ ἔχε.

2. Ἐπὰν δὲ βούλει βάψαι σμάραγδον, λαβὼν ἰὸν χαλκοῦ καὶ ὄξος πρωτεῖον, λείωσον ἐν ἴγδῃ ὑαλίνῃ · συμμίξας καὶ χολὴν ταύρου ξηρὰν, ἢ γυπὸς, καὶ μετὰ τὸ ἑνωθῆναι ὁμοῦ, ποίησον σφαιρία, καὶ ψύξον ἐν σκιᾷ, καὶ ἔχε.

3. Ἐπὰν οὖν μέλλῃς βάψαι λίθον, βάλε ἐκ τῶν σφαιρίων τούτων εἰς ἴγδην ὑαλίνην, καὶ λειώσας ἔνωσον αὐτῷ ἐκ τοῦ ἀνακλασταρίου, καὶ συλλειώσας, ποίησον ζωμὸν, καὶ ἔμβαλον εἰς βυσσίον ὑάλινον [1071] κεχρισμένον πυριμάχῳ πηλῷ ·

1070. οἱ δὲ τὰλκ B.
1071. βυσσίον] F. l. βησσίον (ici et plus loin).

καὶ φέρε ἐκ τῶν κρυστάλλων οἷον βούλει σχῆμα · καὶ ἔμβαλε εἰς τὸ βυσσίον τὸ πεπηλωμένον τὸ ἔχον τὸν ζωμόν · καὶ βαλῶν κάρβωνας, ὑπόκαιε θέρμῃ πραείᾳ · καὶ ἔασον λαβεῖν βράσμα ἕν · καὶ ἄρας ἐκ τοῦ πυρὸς, τίθει ἐν τόπῳ, καὶ ἔα ἀποβρέχεσθαι ἡμέρας γ΄ · καὶ ἀνελόμενος, ἔχε τῇ τοῦ Θεοῦ χάριτι.

4. Τῇ αὐτῇ δὲ ἀγωγῇ καὶ ἐπὶ λυχνίτου, σφαιροποίησον δρακόντειον αἷμα, καὶ χυλὸν ἀγχούσης βοτάνης · καὶ συλλειώσας μετὰ τοῦ ῥηθέντος ἀνωτέρω ὕδατος τοῦ ἐν τῷ σμαράγδῳ, βάλε κρύ- (φ. 147 υ.) σταλλον, καὶ βάψεις.

5. Ὁμοίως καὶ ὑάκινθον, λαζούριον λείου σὺν χυλῷ ἰσάτεως, καὶ[1072] ποίει σφαιρία, ὡς ἀνωτέρω ἐκδέδοται · τούτου γὰρ ἄλλο κρεῖσσον οὐκ ἔστιν.

6. ΤΙΝΑ ΤΑ ΕΙΔΗ ΤΥΓΧΑΝΟΥΣΙ ΤΗΣ ΤΩΝ ΛΙΘΩΝ ΚΑΤΑΒΑΦΗΣ ΚΑΙ ΠΩΣ ΟΙΚΟΝΟΜΕΙΤΑΙ. — Ἐπεὶ οὖν ἔγνωμεν ὡς τὸ συνεκτικὸν αἴτιον τῶν ἔργων τῆς τέχνης ἐστὶν ἡ κόμαρις · πρόκειται δὲ λέγειν ἡμᾶς περὶ τῆς τῶν λίθων καταβαφῆς, ἀρτίως ἴδωμεν πρῶτον τίνα τὰ βαπτικὰ εἴδη τυγχάνουσι τῶν λίθων, καὶ ὅπως ἐνωθέντα τῇ κομάρῳ, βάπτουσι κρυστάλλους ἢ τοὺς φυσικοὺς ἐπιβάπτουσι, καὶ οἷα τὰ ἀγγεῖα ἐν οἷς καὶ ὅπου οἰκονομοῦνται. Ἐπὶ μὲν τῆς τῶν σμαράγδων ποιήσεως, καθὼς καὶ Ὀστάνει δοκεῖ τῷ πανδοχεῖ τῶν ἀρχαίων, ἰὸς χαλκοῦ, καὶ χολαὶ ζώων παντοίων, καὶ τὰ ὅμοια · ἐπὶ δὲ ὑακίνθων, ὑακίνθου πόα, καὶ ἰσάτιδος ῥίζα συνεψομένη · ἐπὶ δὲ λυχνίτου, ἄγχουσα καὶ

1072. λαζούριν AK. — B mg. : un double trait.

αἷμα δρακόντειον · ἐπὶ δὲ νυκτοφανοῦς τε καὶ θαλασσοβαφοῦς ὀνομαζομένου λυχνίτου, ζώων χολαὶ θαλασσίων ἰχθυωδῶν ἢ κητωδῶν, διὰ[1073] τὸ τούτων νυκτοφανὲς, καὶ μᾶλλον γλαυκότερον, ὡς δηλοῦσιν ἔντερα καὶ λεπίδες αὐτῶν νυκτὸς ἀποστίλβοντα καὶ ὀστᾶ. Φησὶ γὰρ καὶ ἡ Μαρία · « Ἐὰν μὲν χλωρὸν θέλῃς, συμμάλασσε τὸν ἰὸν τοῦ χαλκοῦ μετὰ χολῆς χελώνης, ἐὰν δὲ κάλλιον βούλῃς, τῆς ἰνδικῆς χελώνης, ἐπίβαλε, καὶ ἔσται πάνυ πρωτεῖον · ἐὰν δὲ μὴ εὕρῃς χολὴν χελώνης πνεύμονι θαλασσίῳ τῷ κυανέῳ χρῶ, καὶ κάλλιον ποιήσεις · συντελεσθέντες δὲ, φέγγος βάλλουσιν · ὥστε τὰς μὲν (f. 148 r.) χολὰς τῶν[1074] ζώων καὶ τὸν ἰὸν τοῦ χαλκοῦ Ὀστάνης, ἐπὶ τῶν σμαράγδων ἐξέλαβε, μὴ προσθεὶς τὸ θαλάσσιον · ἐπὶ ὑακίνθου δὲ, πόαν ὑάκινθον, καὶ μέλαν[1075] ἰνδικὸν, καὶ ἰσάτιδος ῥίζαν · ἐπὶ δὲ τοῦ λυχνίτου, τὴν ἄγχουσαν καὶ τὸ δρακόντειον αἷμα · ἡ δὲ Μαρία, τὸν ἰὸν τοῦ χαλκοῦ καὶ τὰς χολὰς[1076] τῶν θαλασσίων ζώων · ἐπὶ δὲ τοῦ νυκτοφανοῦς δῆλον < ὅτι > καλοῦσιν ὑάκινθον οἱ περὶ λίθων σοφοί. Διὸ καὶ προσεπάγει λέγων · « Συντελεσθέντες δὲ, φέγγος βάλλουσιν, ὡς ἀκτῖνες ἡλίου. »

7. Πόθεν οὖν λαμβάνουσι τὸ πυραυγὲς οἱ λίθοι, μήτε τῶν χολῶν, μήτε τοῦ ἰοῦ τοῦ χαλκοῦ δυναμένων αὐτοῖς τοῦτο χαρίσασθαι, χλωρῶν ὄντων ἐκ φύσεως ; Τί οὖν φα-

1073. χωλὰς mss.
1074. δὲ] F. l. γὰρ.
1075. B mg. : double trait. — ὑακίνθου et ῥίζαν soulignés dans B.
1076. ἤ. B mg. : un double trait. — δρακόντειον souligné.

μεν; Ἆρα τὴν Μαρίαν παρῆλθε τὸ τοιοῦτον χρησιμώτατον ἔργον; Αὕτη περὶ λυχνιτῶν ποιήσεως, ἣ καὶ ἀνωτέρω κατέλεξεν. Ὀστάνης δὲ τὴν ἄγχουσαν καὶ τὸ δρακόντειον[1077] αἷμα, καὶ ἄλλας ἑτέρων λίθων καταβαφὰς παραλαμβάνει · ὅθεν ὡς εἴδη προκαταλήξασαν τὴν ἐρυθρὰν τοῦ λίθου καταβαφὴν ἢ χροιάν,[1078] ἥτις πυρρὰ μέν ἐστιν, ἀλλ' οὐ νυκτοφανὴς, τιμιωτέραν ἡμῖν ἐνταῦθα[1079] εἰσηγεῖται ὁ τεχνίτης ἱκανὸν εἶναι παρασκευάζειν τὸν βαπτόμενον[1080] λίθον, ἡλίου δίκην, ἀκτῖνας ἀφιέναι, νυκτὶ καὶ δύνασθαι τοὺς κεκτημένους ἀναγινώσκειν καὶ γράφειν καὶ πάντα πράττειν, σχεδὸν ὡς ἐν ἡμέρᾳ · τὸ μὲν γὰρ θεωρεῖσθαι νυκτὸς ἕκαστος ἔχει λυχνίτης, κατὰ τὸ οἰκεῖον μέγεθος καὶ τὴν καθαρότητα (f. 148 v.) φυσικὸν ἢ τεχνικόν · τὸ δὲ φωτὸς εἶναι χορηγὸν μόνον ἴδιόν τε καὶ ἐξαίρετον τοῦ νυκτοφαοῦς · ἡ γὰρ λέξις ἐνταῦθα, οὔτε ἡμέρᾳ φαινόμενον ὑπαινίττεται μόνον, ἀλλὰ τὸν νυκτὸς φαίνοντα δείκνυσιν.

8. Αἱ μέντοι χολαὶ τῶν ζώων ἀποστάξασαι τὸ ὑδατῶδες σκιόφυκτοι γίνονται, καὶ οὕτω πρόκεινται τῷ ἰῷ τοῦ ἡμετέρου χαλκοῦ, τουτέστι[1081] τῇ κομάρῳ, καὶ ἕψονται ἅμα τεχνικῶς καὶ χρωσθεῖσαι τῷ ὕδατι, ἄφευκτοι γίνονται · καὶ σειρωθέντος τοῦ ὕδατος, θερμαίνονται οἱ λίθοι[1082] καὶ χα-

1077. B mg. : double trait. — Les mots Ὀστάνης — αἷμα soulignés dans B.
1078. F. l. ἤδη προκαταλέξας.
1079. πυρὰ mss.
1080. παρασκευάζει B.
1081. προ κεινται A. F. l. πρόσκεινται. — B mg. : double trait. — Les mots τοῦ ἡμετέρου — τῇ κο ... soulignés dans B.
1082. B mg. : double trait. — Les mots ἄφευκτοι γίν. soulignés dans B.

λῶνται θερμοὶ ἐν τῷ βάμματι, κατὰ τὴν Ἑβραίων φωνήν. Εἰ μέντοι τὸ χολῶδες χρῶμα μεῖόν ἐστι δυνατὸν τῷ λίθῳ πολλὴν ἐμποιῆσαι χλωρότητα, βάλλεται σὺν τῷ ἡμετέρῳ ἰῷ καὶ ὁ κοινὸς ἰὸς [τῆς ὑπηρεσίας] χαλκοῦ καὶ χαλκάνθης ὀλίγης, καὶ ὅσα ἕτερα δύνανται[1083] βοηθῆσαι τοῖς ἐπιβαπτομένοις ἢ πλαττομένοις λίθοις, καὶ μάλιστα τοῖς σμαράγδοις.

9. Ἰστέον δὲ ὅτι αἱ χολαὶ τῶν θαλλαττίων ζώων λαμπηδόνα συμβάλλονται πρὸς ἑκάστου λίθου καταβαφήν, συμμέτρως παραλαμβανόμεναι μετὰ τῶν ἁρμοζόντων ἑκάστῳ χρώματι ζωγραφικῶν, ἢ ἄλλων τινῶν εἰδῶν. Χρὴ δὲ γενέσθαι πᾶσαν βαφὴν ἐν ὑαλίνοις ποτηρίοις λαμπροῖς, καὶ πάντα ποιεῖν, μετὰ τοῦ καθολικοῦ κανόνος, τοῦτο ὡς ἐπινοεῖς · οὐ γὰρ ἀμελητέον αὐτῶν.

10. ΤΙΣ Ο ΤΗΣ ΟΨΕΩΣ ΤΩΝ ΧΡΩΜΑΤΩΝ ΗΤΟΙ ΠΟΙΗΣΕΩΣ ΤΡΟΠΟΣ ΤΩΝ ΒΑΠΤΟΜΕΝΩΝ ΛΙΘΩΝ. — Διδάσκων ἡμᾶς ὁ (f. 149 r.) φιλόσοφος τίς ὁ τῆς ὄψεως τρόπος τῶν χρώματι ὄντων βαπτομένων λίθων ἐστὶν,[1084] ἐν τῷ περὶ λίθων καταθέτῳ χαλκοῦ, οὕτως φησί · « Ἔστιν, ὡς ἤκουσα[1085] ἐν τῷ πατροπαραδότῳ βιβλίῳ, χολὴ ἰχνεύμονος, χολὴ γυπεία · ἐν ταύταις ταῖς χολαῖς, ὅστις ἂν δυνηθῇ τὸν ἰὸν τοῦ χαλκοῦ σῆψαι ἡμέρας μ΄, ἵνα, τῆς ὕλης σαπείσης, γένηται ἡ θέσις τῶν λίθων, καὶ ἀμετάτρεπτος[1086]

1083. ὀλίγ΄ B. F. l. ὀλίγον.
1084. χρώματι ὄντων] F. l. χρωμάτων τῶν β.
1085. καταθέτων AK. — ἔστιν om. AK.
1086. F. l. ἀμετάτρεπτον.

ὁ ἰὸς τὸ εἶδος φυλάξῃ, κατὰ τὸν Ἀγαθοδαίμονα · περὶ οὗ καὶ ὁ θεσπέσιος λέγει Μωϋσῆς ὁ προφήτης ἐν τῇ οἰκείᾳ χυμευτικῇ[1087] τάξει · « Καὶ πάντα βαλὼν ἐν σφαιρίῳ ὑαλουργικῷ, ἕψει, ἕως γένηται[1088] κινναβαρῶδες, καὶ τελέσῃ τὸ θεοδώρητον μυστήριον. » Ὅτι δὲ τὴν ἀσινῆ καὶ σύμμετρον ἠνίξατο τοῦ συνθέματος θέρμην, διὰ τῆς τοῦ ἡλίου προσηγορίας, δείκνυσι σαφῶς, καὶ διὰ τῆς ἐπιστολῆς τῆς διὰ τῶν ἰάμβων πρὸς τὴν Σάνην, λέγων ἀναφανδόν[1089] ·

καὶ πάντ' εἰσάξεις ὡς εἰς ἥλιον σφοδρόν.[1090]

11. ΠΕΡΙ ΧΥΜΕΥΤΙΚΗΣ. — Λαβὼν σηρικὸν λίτρας γ′, κρύσταλλον[1091] καθαρὸν λίτραν α′, κασσίτερον ἑξάγια β′, λείωσον θεῖα (?) ὡς χοῦν[1092] · καὶ βάλε αὐτὰ εἰς χυτρίδιον ἄθικτον, καὶ παρόπτα αὐτὰ εἰς κάρβωνα, ἕως γένηται ὕαλος πράσινος. Ἐὰν ὑπάρχῃ τὸ πῦρ ἐκτεταμένον, γίνεται χρυσοειδές · εἰ δὲ ἐπὶ πλέον, λευκὸν ὥσπερ κρύσταλλος.

12. ΑΛΛΟ ΚΕΦΑΛΑΙΟΝ ΠΕΡΙ ΛΙΘΩΝ. — Ἐπειδὴ τῶν λίθων οἱ μὲν βάπτονται, οἱ δὲ στύφονται, καὶ τῶν ἐπιβαπτομένων οἱ μὲν λειούμενοι χρώννυνται, οἱ δὲ ἀκέραιοι ἐπιβάπτονται, ὁμοίως καὶ τῶν (f. 149 v.) βαπτομένων λειοῦνται οὐ

1087. B mg. : double trait. — Les mots Μωϋσῆς — τάξει soulignés dans B. — χημευτικῇ B.
1088. τάξει] F. l. συντάξει.
1089. Σάνην] Cp. Boeckh, C. I. G. 5, 116. (Parthey, Ægypt. Personnennamen).
1090. πάντα AK ; om. B. Corr. conj.
1091. χημευκτικῆς mss.
1092. θεῖά] ϑ avec deux barres opliques. — Ce signe dans A, est surmonté des lettres υλ (1re main ?).

καθόλου πάντες, < καὶ > ἑτερογενεῖς εἰσιν, ἢ ὁμοιογενεῖς, εἴπωμεν πρότερον περὶ τῶν ἐπιβαπτομένων ὁμοειδῶν, ἔπειτα καὶ περὶ τῶν βαπτομένων [μὴ] ἑτερογενῶν, μετὰ ταῦτα καὶ τῆς[1093] περὶ τῶν μαργάρων ποιήσεως.

13. Ὅτι μᾶλλον ἀναγκαῖον ἡ διὰ τοῦ ἑνὸς ζωμοῦ τῶν λίθων σκευὴ καὶ τελείωσις. Ζητῶ δὲ πρὸ πάντων πότερον εἷς ἐστιν ὁ ζωμὸς ὁ τὰ πάντα ἐργαζόμενος, ἢ δύο, ἢ τρεῖς. Ἀραιώσεως μὲν γάρ καὶ βαφῆς καὶ στύψεως δεῖται πᾶς λίθος · κάτοχος γάρ ἐστι · τάχα δὲ καὶ ἀραιώσεως, ὡς τῷ καλῷ φιλοσόφῳ δοκεῖ · ἀραιώσεως μέν, ἵνα παραδέξηται τὴν χροιάν · βαφῆς δὲ, διὰ τὸ ποθούμενον κάλλος καὶ τέλος · στύψεως δὲ,[1094] διὰ τὴν παραμονὴν τῆς μορφῆς. Ὥσπερ γὰρ ἐν ταῖς περὶ χρυσὸν καὶ ἄργυρον σκευαῖς, εἰσκρισεώς τε καὶ βαφῆς, καὶ κατοχῆς δεόμεθα, ὧν ἄνευ τῆς τελειότητος τὸ ξηρίον τῶν βαπτομένων εἰδῶν εἰσδεχυθῆναι ἀδύνατον, οὕτω καὶ ἐπὶ τῶν λίθων ἀνάγκη.[1095]

14. Τινὲς μὲν οὖν διὰ τριῶν ζωμῶν εἰργάσαντο, ὃ ἐξέδωκαν οὐ κατὰ στύφωσιν, ἀλλὰ κατὰ τάξιν · ἵνα ἀραιώσαντες, καὶ ἐπιστύψαντες, εἶτα βάψαντες ὁμοῦ καὶ στύψαντες, εἶθ' οὕτω καὶ βάψαντες ἐν ζωμῷ ἑτέρῳ · ἄλλοι δὲ δι' ἑνὸς μόνου τὸ πᾶν ἀπειργάσαντο ἀραιοῦντες, καὶ ἀναστύφοντες, καὶ βάψαντες παρέλαβον · καὶ ἔτι παρέδωκαν ἐφ' οἷς καὶ

1093. F. l. καὶ περὶ τῆς τῶν μ. π.
1094. B mg. : Une ligne verticale en regard des mots στύψεως — εἰσκρίσεως qui sont soulignés.
1095. ἀνάγκη.] La phrase semble inachevée, à moins qu'elle ne soit simplement elliptique.

τὴν στύφωσιν, ὡς ἐπὶ τῶν μαργαριτῶν · οὐκ ἂν μυρίων τῆς αὐτῆς διδασκαλίας[1096] Δημόκριτος καὶ Μαρία καὶ Ζώσιμος τὴν δι' ἑνὸς (f. 150 r.) ἀπάρτισιν τοῦ παντὸς ἔχοντος · ὃν τρόπον καὶ ἐπὶ τῆς[1097] ψυχροβαφῆς ἐδικαίωσε πορφύρας. Δυνατὸν γὰρ κἀκεῖ τοῦ στύφεσθαι τὴν αὐτὴν καὶ ἐπιβάπτεσθαι κοκκίνῳ, εἶτα καὶ ἐπιβάπτεσθαι κυάνεον.[1098] Ἀλλ' εἴπερ ἐνδέχεται βάπτεσθαι ὁμοῦ καὶ κατέχεσθαι, ἐνδέχεται καὶ[1099] στύφεσθαι τὴν βαφὴν, ἔχειν δὲ τὸν ἕνα ζωμὸν τὸν στύφοντα, ἤτοι εἰσκρίνοντα, καὶ βάπτοντα, καὶ κατέχοντα, ὡς ἐπὶ τῶν ἰδίων ὑγρῶν τῶν πρώτων δύο συνθέτων, ὥς φησιν ὁ φιλόσοφος · οὕτω γὰρ ἂν[1100] οὐ μόνον σὺν αὐτῷ ὡς τεχνίτης ὀφθήσεται, ἀλλὰ καὶ ἀσφαλὴς ἐν πᾶσιν.

15. Ὅτι δὲ ἀραίωσίς ἐστι καὶ στύψις καὶ βαφὴ, καὶ τῶν λοιπῶν προϊόντων · ἔστι γὰρ ἐννοεῖν ἐν διαφόροις φιλοσόφῳ εἰ παραλάβοιμεν τὰς σύριγγας τῶν λίθων, ὁπόταν πρότερον πληροῦσθαι καὶ ἀτελὲς μένει[1101] τὸ ἔργον · εἴτε γὰρ στύψαι κωλύσει τὴν βαφὴν πυκνώσας, ἀναπληρώσει ταύτας καὶ τὸ χρῶμα καὶ τῶν λίθων καὶ μαργάρων τὰ πράγματα, ἐν τρισὶ κεφαλαίοις.

16. Τὴν περὶ πορφύρας διὰ τῶν φθασάντων οἰκονομήσαντες λοιπὸν καὶ δείξαντες δι' αὐτῶν τίς μὲν ἡ ἀρχέτυ-

1096. οὐ κἂν K. — διδασκαλίας om. AK.
1097. ἔχοντος] F. l. δέχοντες (?).
1098. κυάνεως A.
1099. B mg. : double trait ;— les mots εἴπερ ἐνδέχ. βαπτ. ὁ κ. κατέχ. ἐνδ. soulignés.
1100. ὡς φησὶν mss.
1101. F. l. σήραγγας.

πος πορφύρα, τίς δὲ ἡ χρυσόκολλα, καὶ τρίτον τίς ἡ τῶν ἱερωμένων, τὴν μὲν ἀκολούθως ἐπὶ τὴν προσεχῆ τοῦ τελείου διδασκαλίαν τῶν ἔργων τῆς τέχνης, τὸν περὶ[1102] λίθων λόγον διεξιέναι σπουδάζοντες, ὡς ἀγνοῆσαι τέως μὲν τὰς ἀφορμὰς πάλιν ἐκ τῶν ἀρχαίων λαμβάνοντες, κατὰ τὸν ἐκείνων σκοπὸν ὑμῖν[1103] ἀναπτύ- (f. 150 v.) σομεν. Εἰδέναι γὰρ ὑμᾶς θέλω ὡς λίθους καὶ μαργάρους ἐκάλεσαν τὸ θεῖον ὕδωρ τὸ ἄθικτον, τουτέστι τῆς πορφύρας, διὰ τὸ τίμιον καὶ ἄφευκτον · οὐ γὰρ ἐπὶ λίθων γεηρῶν αὐτῶν ὁ λόγος[1104] ἐστὶν · δείκνυσιν ὁ φιλόσοφος ἐν τοῖς περὶ ἰοῦ πονηθεῖσιν αὐτοῦ · λέγει γὰρ φανερῶς ὅτι οὐ λίθος σφίγγων, ἢ λίθου ἢ ξηρὸν ἢ ὑγρὸν, ἀλλὰ μέθοδος ποιητικὴ σύνεργον ἔχουσα τὴν τῶν μελῶν ποιότητα, καὶ τὴν τῶν ὑγρῶν καταλλαγὴν, καὶ τὸ πῶς πόα βαπτικὴ · τῇ δεήσει παρ' αὐτοῖς[1105] λεγόμεναι πόαι, δείκνυσιν ὁ Πετάσιος < ὃς > ἐν τοῖς δημοκριτείοις ὑπομνήμασιν ἐπὶ λέξεων γράφων « πόας » καλεῖ τὰς λεκίθους τῶν ὠῶν.[1106]

17. Ἔξεστι δὲ τοῖς φιλομαθέσιν ἀπὸ τῶν παλαιῶν διὰ μυρίων τὸ τοιοῦτον πιστώσασθαι καὶ μαθεῖν ὅτι διὰ παντὸς εἴδους ὑγροῦ καὶ ξηροῦ, ἡ τέχνη τοῦ φυσικοῦ δύο θεῖα ἀνακηρύττει, οὐ μόνον τὸ στερεὸν καὶ ξανθὸν, ἀλλὰ καὶ τὰ ὑγρὰ καὶ λευκά. Διότι καὶ μυρίων ἡμᾶς ἀγαθῶν μετὰ

1102. F. l. τῷ τελείῳ.
1103. BA mg. : ὡραῖον.
1104. B mg. : double trait ; les mots διὰ τὸ τιμ. — ἄφευκτον soulignés. — αὐτῶν] αὐτο B ; αὐτὸ AB.
1105. τῇ δεήσει] F. l. τί δή εἰσι.
1106. λεκίθους] λεκύνθους BA. Corr. conj.

πολλὰς προσηγορίας ἕκαστον αὐτῶν ὀνομάζουσιν, ὥσπερ χελιδονίαν, καὶ ἀριστολοχίαν, καὶ πόντιον ῥᾶ, καὶ κρόκον κιλίκιον, καὶ θαψίαν,[1107] καὶ μέταλλα παντοῖα, καὶ ὕδωρ, καὶ οἶνον, καὶ γάλα παντοῖον, καὶ ἔλαιον, καὶ πόας ἅμα πάσας κατηγοροῦσι τῶν ἀμφοτέρων ὑδάτων συνθέσεων ἀπὸ χρώματος, ἢ σχήματος, ἢ ποιότητος, ἢ δυνάμεως δευτέρας, < ἢ > ἐνεργείας φυσικῆς ἢ τεχνικῆς, ἢ ὁμωνυμίας. Καὶ Δημοκριτος · « Τὸ γὰρ κόμαρον νόμιζε τὸν λίθον · » καὶ ἡ Μαρία[1108] (f. 151 r.) δὲ πάντα ἐν ταῖς περὶ μαργαριτῶν ἐκδόσεσι περὶ τῶν πρὸ[1109] αὐτῆς συγγραφέων εἰποῦσα · « Οὐ γὰρ οὕτω φρονήσαντες ταῖς τοῦ χρυσοῦ, μολύβδου καὶ ἀργύρου ποιήσεσι τῆς κομάρεως, καὶ ἐπ' αὐτὸ παθόντες λέγουσι · μὴ ἔστω σοι ὑπερμεγέθης · μὴ ἑαυτῷ φθονήσῃς. »

18. Δέδεικται τοίνυν σαφῶς ὅτι πορφύρας, καὶ λίθων, καὶ μαργάρων οἱ παλαιοὶ μεμνημένοι τὸ κόμαρον διαγράφουσι · πολλὰ γὰρ ἀπεργάζεται · καὶ αὖθις τοῦτο λαβὼν ἀπεργάζου · τοῦτο γὰρ ποιεῖ τὸν τῆς Κυθερείης λίθον · ἔτι γε μὴν καὶ τὴν νεφέλην δόκιμον ποιεῖ · τοῦτο καὶ παντοῖον δείκνυσι λίθον · τοῦτο καὶ τὰ μιγνύμενα χρώματα κατέχει.[1110]

19. Ὅρα ὡς τοῦ ἑνὸς εἴδους πολλὰ συνηγόρησεν ὁ φιλό-

1107. B mg. : double trait ;— les mots πόντιον — θαψίαν soulignés. — B mg. : θαψία.
1108. ἡ om. B.
1109. περὶ τῶν πρὸ αὐτῆς σ.] F. l. παρὰ τῶν πρὸ ἀ. σ.
1110. B mg. : double trait ;— les mots τὰ μιγνύμενα χρώματα — κατέχει soulignés.

σοφος. Μαργαρίτης ὅς ἐστι τῆς Κυθήρης λόγον δεικνύει παντοῖον, δόκιμόν τε τὴν[1111] νεφέλην ποιεῖ, μίαν τε μίξιν ἐπὶ πάντων ἁρμόζειν τῷ λίθῳ · καὶ τὴν[1112] αὐτὴν ὡς πῆξαι αὐτὸν, καὶ συνελόντα εἰπεῖν, κατεργάζεσθαι πάντα ὅσα καὶ βούλεται ὁ τεχνίτης. Τί δὲ τὸ ἓν εἶδος, ὦ Δημόκριτε;— Ὁ δέ[1113] φησι φέκλην καὶ ὠοῦ τὸ λευκόν. Ζώσιμος δὲ τὴν φέκλην ἀφροσέληνον εἶπε · καὶ τὸ ἀφροσέληνον, κόμαρον, λέγων ἐν τοῖς περὶ κομάρου καὶ ἀφροσελήνου παρὰ Δημοκρίτου ταῦτα · « Ἀφροσέληνον λέγων ἓν[1114] εἶδος · σύνθετον δὲ καὶ αὐτὸ τὸ ἀφροσέληνον. » Ὅτι δὲ ἀεί τινες αὐτὸ ἐκδεδώκασιν, εἴτε φέκλην εἶναι ἀπὸ κοπτικοῦ, εἴτε ἀπὸ σεληνιακῆς ἀπορροίας, ἄγει ἄργυρον καὶ κόμαρον · τούτων γὰρ ὧν ἡ ἐνέργεια μία[1115] καὶ ἡ οὐσία ἰδία, (f. 151 v.) τὸ ἀφροσέληνον καὶ τὸ κόμαρον ἐνέργειαν μίαν ἔχουσι πάντως, καὶ ἕν τι ὀφείλουσιν εἶναι.

20. Ἀλλὰ γὰρ ὁ Δημόκριτος, ἐπὶ τῆς κομάρεως ἐλθὼν, κατηγορεῖ φάσκων · « Ἐπίχριε ὅσον βούλει λίθον, λειώσας αὐτὸν, καὶ ἔσται μαργαρίτης. » Τοῦτο δὲ παντοῖον δείκνυσι λίθον. Ἐν δὲ ταῖς καταλλήλων τῶν εἰδῶν < βίβλοις > συνεῖχεν αὐτὰ εἰρηκώς · « Ἀφροσέληνον κομάρῳ συλλειοῦν, καὶ μαλάττειν, καὶ πηγνύειν, καὶ βάπτειν, καὶ ἀραιοῦν. » Καὶ παντοῖον δείκνυσι λίθον · καὶ πάλιν φησὶν

1111. λόγον] F. l. λίθον. Cp. la ligne 23.
1112. F. l. ἁρμόζει.
1113. BA mg. : ὡραῖον.
1114. F. l. λέγω.
1115. ἄγει ἄργ.] F. l. λέγει ἀφροσέληνον.

ὁ αὐτός · « Λαβὼν τὴν λεπίδα τῶν ναυπλοίων κόχλων, καὶ τοὺς μικροὺς μαργάρους λύσας. » Καὶ πήσσειν διόλου αὐτὸς ἐμφαίνει διὰ τοῦ ἀφροσελήνου < καὶ > κομάρεως · « Πῆξον, φησὶν, ὕδωρ < διὰ > τοῦ ἀφροσελήνου, » καὶ τὰ ἑξῆς. Καὶ αὐτὴ δὲ Μαρία · « Τὸ ἓν εἶδος τὰ πάντα ἐργάζεται. » Περὶ τῶν λίθων διδάσκουσα, ἡλιοτρόπιον ἔφησε βητὰν · τὸν ἰὸν ὑποδείξασα, γράφει οὕτως · « Ἔστω σοι οὖν παντὸς λίθου ἀραίωσις, στυφομένου στύψις, ἡ μανδραγόρα ἡ τὰ σφαιρία ἔχουσα · ἐκείνης γὰρ ἄνευ τῆς βοτάνης οὐδὲν γίνεται.

21. Τοῦτο ἔκρυψαν τὸ μυστήριον · οὔτε γὰρ γῆ, οὔτε βάσις, οὔτε κρύσταλλος ἀραιοῦσθαι χωρὶς τοῦ ζητουμένου δύναται · τοῦτο γὰρ[1116] παντὸς κυριεύει, ἥ τε βαφὴ σὺν τῇ στύψει μιγεῖσα καὶ ἐπὶ πλείονα[1117] χρόνον ἐπιστήσεται τὸ κάτοχον · τούτου δὲ μὴ εὑρισκομένου, πάροδος ἡ βαφὴ καὶ ἀσθενὴς καὶ ἀπαράμονος ἔσται, καὶ δοκιμαζομένη τοῖς θερμοῖς ὕδασιν, ἢ ἐλαίῳ ἐξαφανίζεται. Διὸ « λείου ἐμφρόνως, » ὁ Πανοπο- (f. 152 r.) λίτης φησὶν ἐν τοῖς περὶ λίθων τῶν βαφικῶν καὶ κατόχων γενομένων. Καὶ ζωμοῦ ἐργασίαν εἰπών · « Ἰδοὺ καὶ κατόχου λόγοι ἐπέχουσι μετὰ τὸ πυριμαχεῖν · τὸ γὰρ βάπτον αὐτοὺς ἀνέδειξαν οἱ ζωμοὶ ἀναντιρρήτως. » Ἀλλ' ἐπείδη τὸ εἰρημένον ἀμάρτυρον ἦν,[1118] καταλιμπάνειν τὸν λόγον οὐκ ἀγαθόν. Ἀκούειν δὲ δεῖ καὶ τῆς τῶν παλαιοτέρων ἐκδόσεως, τὰ παραπλή-

1116. BA mg. : ὡραῖον.
1117. Les mots ἡ τε βαφὴ — δοκιμ. soulignés dans B.
1118. ἀναντηρήτως mss.

σια λεγόντων εἴδη. Ἰδοὺ γὰρ ἐν τῇ τῶν Αἰγυπτίων Σοφῇ βίβλῳ φησὶ Δημόκριτος οὐχὶ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ « μία φαρμάκου σύνθεσις πολλὰ χρώματα ποιεῖ, » καὶ « μία μάλαξις τοῖς πᾶσι ποιεῖ, » καὶ « τὸ ἓν εἶδος πολλὰ ἀπεργάζεται. »

22. ΠΕΡΙ ΒΑΦΗΣ ΣΜΑΡΑΓΔΟΥ. — Λαβὼν δύο χώνας, ἔχε ἐν ἑτοίμῳ · καὶ λαβὼν σηρικοῦ μέρος α΄, λῦσον ὄξει, καὶ χρίσον τὸ σύνθημα[1119] τὰ δύο χωνία · καὶ λαβὼν χαλκὸν κεκαυμένον μέρος, ποίησον λεπτότατον, καὶ μέρισον εἰς δύο · καὶ τὸ μὲν ἓν μέρος ὑπόστρωσον τῇ μιᾷ χώνῃ, καὶ ἔνθες κρύσταλλον λίθον, καὶ ὑποκάλυψον αὐτὴν τῷ ἑτέρῳ μέρει τοῦ τετριμμένου χαλκοῦ. Εἶτα ἐπιπώμασον μετὰ τῆς ἑτέρας χώνης, καὶ ἀσφάλισον πηλῷ πυριμάχῳ τὰς ἁρμονίας ἀμφοτέρων τῶν χωνῶν, ἵνα μὴ ἐκπνεύσῃ τὸ ξηρίον, ἢ κινηθῇ, καὶ γυμνωθῇ τὸ ἓν μέρος καὶ τοῦ λίθου, γένηται περικὸν ἐν τῷ σείεσθαι τὰς χώνας. Μετὰ οὖν[1120] τὸ ἐπιχρίσαι εὐφυῶς ἐπάνω ἕως κάτω, ἔασον ξηρανθῆναι · καὶ καῦσον[1121] πυρὶ ἐλαφρῷ ὥρας θ΄ · καὶ ἀνακαλύψας εὑρήσεις (f. 152 v.) τὸν ἀπὸ κρυστάλλου ἀλλοιωθέντα λίθον εἰς σμάραγδον.

23. Τοῦτο τὸ ἀφροσέληνον καὶ τὸ κόμαρον αἰνιγματωδῶς οἱ φιλόσοφοι[1122] εἶπον · τὸ γὰρ ἀφροσέληνον καὶ τὸ κόμαρον μιᾶς ἐπιστήμης ὑπάρχουσι · καὶ ἐν τούτοις τοῖς ὀνό-

1119. F. l. τῷ συνθήματι.
1120. περικὸν] F. l. πνικὸν (scil. πνευματικὸν) ? *vel* μερικὸν ?
1121. F. l. ἀπάνω.
1122. A mg. : σησαι.

μασι δυσεύρετόν ἐστιν · ἀλλ' οἱ σοφοὶ τῶν Ἰσμαηλιτῶν σαφῶς εἶπον τοῦτο, καὶ οὕτως εἰρμήνευσαν, οἱ μὲν ταλ΄κ,[1123] καλ΄κ, οἱ δὲ χάλκ · καλεῖται δὲ φόβος καὶ τρόμος. Διὰ τοῦτο εἶπον[1124] · « Ἀφροσέληνον ἕνωσον μετὰ κομάρεως, λειῶν καὶ μαλάττων καὶ πηγνύων καὶ βάπτων αὐτὸν, χώνευσον ἄργυρον, καὶ ἐπίβαλε ἀπὸ τοῦ συνθήματος, καὶ ἴδῃς τὴν ἄργυρον εἰς χρυσὸν μεταποιηθεῖσαν, καὶ[1125] θαυμάσεις. Ἡ φύσις τῇ φύσει τέρπεται, καὶ ἡ φύσις τὴν φύσιν νικᾷ. » Καὶ πάλιν εἶπον · « Τὴν χρυσόκολλαν λείωσον οὔρῳ ἀφθόρῳ ὥρας ζ΄, καὶ καταμίγνυε αὐτῇ θεῖον ξανθόν · ἐπίβαλε οὖν σῶμα τοῦ χαλκοῦ ἢ ἀργύρου, καὶ ἔσται χρυσός. »

24. ΣΙΔΗΡΟΥ ΟΙΚΟΝΟΜΙΑ ΠΡΟΣ ΛΙΘΩΝ ΚΑΤΑΒΑΦΑΣ ΣΑΙ ΕΤΕΡΑΣ ΟΙΚΟΝΟΜΙΑΣ. — Λαβὼν μίσυος λίτραν α΄, χαλκίτου λίτραν α΄, χαλκάνθου λίτραν α΄, ἅλατος ἀμμωνιακοῦ καὶ νίτρου ἀλεξανδρινοῦ, στυπτηρίας σχιστῆς ἀνὰ λίτραν α΄, ὄξους δριμυτάτου ξέστας ι΄ · καὶ λειώσας πάντα καλῶς λίαν, ἔμβαλον ἐν ὑαλίνῳ ἀγγείῳ, καὶ ἔασον ἡμήρας γ΄ ἐν ἡλίῳ, κινῶν καθ' ἡμέραν αὐτὸ · καὶ τῇ τετάρτῃ ἡμέρᾳ ἔασον καταστῆναι · καὶ ἀποσειρώσας κάθαρον, καὶ ἔχε. Καὶ λαβὼν ὑαλίνην θυείαν, ἔμβαλε τὸ ὄξος · εἶτα λαβὼν ἐκ τούτου τοῦ σιδήρου λίτραν α΄, ἔμβαλε ἐν τῷ ὄξει, καὶ τίθει πεφιμωμένως ἐν ἡλίῳ, καὶ ἔασον ἡμέρας λ΄ · καὶ τῇ ἐμπροθέσμῳ, ἔχε εἰς (f. 153 r.) τὰς δηλουμένας σοι χρείας.

1123. ταλκ΄. οἱ δὲ χαλκ. B.
1124. B mg. : double trait ;— φόβος καὶ τρόμος soulignés.
1125. BA mg. : σῆ. — τὴν puis le signe de l'argent BA.

25. ΜΟΛΥΒΔΟΥ ΟΙΚΟΝΟΜΙΑ. — Λαβὼν λιθαργύρου λίτραν α΄, στίμμεως λίτρας τὸ ἥμισυ, νίτρου ἀλεξανδρίνου γ° θ΄, λειοτριβήσας ὁμοῦ, ἐπίρρανον αὐτοῖς ἔλαιον · καὶ βάλε εἰς χώνην, καὶ εὑρήσεις μόλυβδον τὸν ἀναζητούμενον. Ὅταν δὲ ἴδῃς καπνὸν ἐξερχόμενον ἀπὸ τῆς καμίνου καὶ τῆς χώνης κάτωθεν, ὑποσυρίζοντος τοῦ συνθήματος, νόει ὡς κατεσπάσθη.

26. ΠΕΡΙ ΑΡΑΙΩΣΕΩΣ ΚΡΥΣΤΑΛΛΟΥ. — < Λαβὼν > ἀσβέστου μέρος [1126] α΄, λῦσον οὔρῳ, ἢ ὄξει · καὶ στυπτηρίας μέρος α΄ · καὶ λαβὼν τὸ ὕδωρ [1127] ἔχε ἰδίᾳ · καὶ λαβὼν λύχνον, πλάτυνον αὐτοῦ τὴν ἐπάνω ὀπήν · καὶ θεὶς τὰ κρυστάλλια, πώμασον ὀστράκῳ τὸν λύχνον, καὶ τίθει ὑπὸ μέσων καρβώνων, καὶ ἄψον. Καὶ ὅταν ἴδῃς τὸν λύχνον ὡς πῦρ, ἄνοιξον τὸν λύχνον, καὶ κένωσον τὸν λίθον εἰς τὸ ὕδωρ τῆς ἀσβέστου καὶ στυπτηρίας, καὶ ἀραιοῦται · καὶ ὅταν ψυγῶσι, κατάμαξον ῥάκει.

27. ΑΛΛΗ ΑΡΑΙΩΣΙΣ. — < Λαβὼν > θεῖον καὶ ἄσβεστον, καὶ στυπτηρίαν σχιστὴν, χρῶ ἡμέρας γ΄ · καὶ θερμάνας ἀνθρακιᾷ, βάπτε ἡμέραν μίαν, μᾶλλον δὲ μετὰ μίαν ἡμέραν.

28. ΑΛΛΩΣ. — < Λαβὼν > χυλὸν πράσου μετὰ ὄξους, ἡμέρας γ΄ ἔα συμπιεῖν καὶ στυπτηρίαν στρογγύλην · καὶ βαλὼν τὸν λίθον, δίδου βράσματα δύο, καὶ ἔα διανυκτερεῦ-

1126. Λαβὼν est souvent omis en tête des recettes, son signe ayant probablement disparu dans un ms. antérieur. Cp. 4, 22, où cette omission est assez fréquente, ainsi que dans le papyrus X de Leide.
1127. στυπτηρία mss.

σαι · τῇ δὲ ἑξῆς ἀπόκλυζε, καὶ χρῶ.

29. ΑΛΛΩΣ. — Βαλὼν εἰς βατάνιον τοὺς λίθους, ἐπιπώμασον καὶ[1128] δίδου ὀπτηθῆναι ὀλίγον · εἶτα ἀναπωμάσας τὸ βατάνιον, ἐπίχεε ὄξος καὶ στυπτηρίαν · καὶ ἔτι θερμοῦ ὄντος τοῦ λίθου, ἐμβα- (f. 153 v.) λε εἰς οἷον βούλει χρῶμα.

30. ΠΟΙΗΣΙΣ ΛΙΘΟΥ ΑΕΡΙΤΟΥ. — Λαβὼν λίθον ἀερίτην, ἀραίου οὕτως · λαβὼν σκόροδα, λείωσον καὶ ἔγκρυψον τὸν λίθον ἡμέρας ζ′, εἶτα εἰς ἀνθρωπίνην κόπρον ἡμέρας γ′. Ἔπειτα ποιήσας γυργάθιον ἀπὸ τριχῶν ἱππείων, ἔνθες τὸν λίθον · καὶ λαβὼν κογχύλην, βάλε εἰς χύτραν καινὴν πλήσας ἀπὸ τῆς κογχύλης, καὶ χάλα τὸν λίθον ἀπηωρημένον · καὶ ἐπιπωμάσας ἀσφαλῶς, ἔνθες ἐν θερμοσποδιᾷ ἀδιαλείπτως ἐπὶ ἡμέρας γ′ · καὶ ἄρας, εὑρήσεις τὸν λίθον ψυγένθα ὅμοιον ὑακίνθῳ λίθῳ ἀληθινῷ.

31. ΣΜΑΡΑΓΔΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν χαλκοῦ κεκαυμένου ἰὸν, καὶ ἔλαιον δᾴδινον, καὶ ὀλίγον ἰνδικὸν, καὶ χρυσοκόλλης καὶ ἐλυδρίου μέρη γ′, ἔμβαλε ἐντὸς τοῦ ἄγγους ἔνθα τὸ ἔλαιον, καὶ ἕψει μαλθακῷ πυρὶ ἐπὶ ἀνθράκων. Ἔπειτα ἀνεθέντος τοῦ ἐλυδρίου, μετάβαλε διηθήσας ὀθόνῃ, καὶ ἐπίθες εἰς αὐτοματάριον, καὶ ἔασον χωνεύεσθαι ἐπὶ ὥρας ἓξ,[1129] καὶ κατενέγκας, εὑρήσεις αὐτὸν καιόμενον.

32. ΣΚΩΡΙΔΙΟΥ ΠΟΙΗΣΙΣ ΚΑΤΑ ΜΑΡΙΑΝ. — Λαβὼν

1128. βωτάνιον A, ici et partout, peut-être d'après une mauvaise lecture de B où l'α ressemble à un ω.
1129. ὀθον′ B ; ὀθόνιον A. Corr. conj.

χαλκοῦ κεκαυμένου μέρος α΄, κουφολίθου μέρος α΄, συλλείωσον ὁμοῦ · καὶ λαβὼν μόλιβδον τὸν ἀπὸ λιθαργύρου καὶ στίμμεως, φρύξον τὸν μόλιβδον[1130] καὶ συλλειώσον ἀμφότερα νιτρελαίῳ, καὶ χώνευσον ἕως ὁμορρευστήσωσι · καὶ στόχασαι τὸν μόλιβδον, καὶ ἄρας ἔχε · εὑρήσεις γὰρ κόκκινον. Εἶτα λαβὼν ἀργυροκοράλλου μέρη δ΄, χρυσοκοράλλου μέρος α΄, ὁμοῦ χωνεύσας, ἔασον ἐψηθῆναι, καὶ εὑρήσεις ὃ βούλει.

33. Ο ΚΡΥΣΤΑΛΛΟΣ ΑΡΑΙΟΥ (54 r.) ΤΑΙ, ΚΑΙ ΟΥ ΡΗΓΝΥΤΑΙ ΟΥΤΩΣ. — Λαβὼν ᾠοῦ τὸ λευκὸν, καὶ κουφολίθου, ποίει γλοιοῦ πάχος, καὶ κατάχριε τοὺς λίθους, καὶ ἔνδυσον εἰς ὀθόνιον, καὶ ἀπαιώρει ἡμέρας γ΄.

34. ΕΙΣ ΤΟ ΓΕΝΕΣΘΑΙ ΤΟΝ ΚΡΥΣΤΑΛΛΟΝ ΑΠΑΛΟΝ. — Λαβὼν θύννων γάρος, καὶ ὀπὸν κυρηναϊκὸν, καὶ ὄξος, βάλε τὸν λίθον, καὶ[1131] ἔασον ἡμέρας ε΄ · ἢ βάλε εἰς βατράχιον ὄξος λευκόν · εἶτα ἔμβαλε τοὺς λίθους ἐν ὑάλῳ.[1132]

35. ΒΗΡΥΛΛΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν τὸν κρύσταλλον, αἶρε θριξί · καὶ ἀπαιώρει εἰς ἄγγειον ἔχον οὖρον ὄνου θηλείας, ὃ οὐ χρὴ ἅπτεσθαι αὐτόν. Ἀπαιωρείσθω οὖν ἡμέρας τρεῖς. Ἔστω δὲ πεφιμωμένον τὸ σταμνίον. Εἶθ' ὕστερον αὐτὸν ἐπιτίθει πυρὶ μαλθακῷ ἑψῶν, καὶ εὑρήσεις βήρυλλον ἄριστον. Πρόστυφε δὲ διὰ θείου καὶ ἀσβέστου, καὶ στύψει

1130. φρίξον mss.
1131. θύνων mss.
1132. F. l. ὑαλῷ.

βαλὼν εἰς χωνίον μέχρι τοῦ ἡμίσεως τῆς χώνης · καὶ ἐγκρύψας αὐτὸν τῇ χώνῃ ὅσον βούλει, μὴ ἁπτομένους τοῦ ὀρτράκου μήτε ἀλλήλοις, κάλυφον μεθ' ἑτέρας · καὶ περιπηλώσας ἀσφαλῶς, ὄπτα νυχθήμερον ἕν.

36. Ὑάκινθον εἰ βούλει λυχνίτην ποιῆσαι, σκεύαζε ξηρίον οὕτως. Χαλκίτου μέρη γ′, μίσυος μέρη γ′, κόκκου γαλακτικοῦ μέρος α′ · μίξας, χρῷ, ὡς προείρηται, ἐν τῇ χώνῃ στρωννύων καὶ ἐπιστρωννύων, καὶ ὀπτῶν ὥρας γ′.

37. ΛΙΘΟΥ ΚΡΥΣΤΑΛΛΟΥ ΚΑΘΑΡΣΙΣ. — Λαβὼν τοὺς λίθους, βάλε εἰς γύργαθον, καὶ τίθει εἰς χαλκεῖον βαλανείου, καὶ ἔασον ζέννυσθαι ἡμέρας ζ′ · καὶ ὅταν καθαρθῇ, λαβὼν τίτανον θερμὴν, φύρασον οὔρῳ, καὶ ἔγκρυψον τὸν λίθον · καὶ ἔασον στυ- (f. 154 v.) φθῆναι ἐπὶ ὥρας γ′, ἄλλοι δὲ ἡμέρας ζ′. Καὶ ἐὰν μὴ καθαρθῇ, πάλιν ἔγκρυβε, καὶ μετὰ τὸ ἀποκαθαρθῆναι, βάπτε εἰς ὃ βούλει χρῶμα.

38. ΑΡΑΙΩΣΙΣ ΛΙΘΩΝ. — Λαβὼν τέφραν συκῆς, καὶ τέφραν δρυΐνην, καὶ χοίρου κόπρον ξηρὰν ἐξίσου, καὶ φυράσας μετὰ λευκοῦ τοῦ ᾠοῦ, βάλε εἰς χωνίον, καὶ περιπηλώσας τὰς ἁρμονίας, πύρωσον πολὺ ἔχοντα τὸν λίθον, καὶ οὕτως ἄρας θερμὸν, ἔμβαλε εἰς τὴν βαφήν.

39. ΑΡΑΙΩΣΙΣ ΚΡΥΣΤΑΛΛΟΥ. — Λαβὼν ἀσβέστου μέρος α′, λῦσον ὕδατι ᾠοῦ, καὶ λαβὼν καθαρὸν τὸ ὕδωρ τῆς ἀσβέστου, ἔχε ἐκ μέρους. Εἶτα λαβὼν στυπτηρίας σχιστῆς μέρος α′, μίξον τῷ ὕδατι τῆς ἀσβέστου, καὶ συμμίξας, ἔχε

τοῦτο τὸ ὕδωρ ἐκ μέρους. Εἶτα λαβὼν λύχνον, πλάτυνον τὴν ἐπάνω αὐτοῦ ὀπὴν, ὡς ἂν δυνηθῇς συνθεῖναι τὰ κρύσταλλα. Εἶτα συνθεὶς, πώμασον ὀστράκῳ τὸν λύχνον, καὶ κάθισον [1133] μέσων καιομένων καρβώνων. Καὶ ἐπὰν ἴδῃς τὸν λύχνον ἀνάψαντα ὡς [1134] πῦρ, διάνοιξον τὸν λύχνον, καὶ κένωσον τὰ γλυμμίδια εἰς τὸ συντεθειμένον [1135] ὕδωρ τὸ ἀπὸ τιτάνου καὶ στυπτηρίας, προθερμάνας τὸ ὀστράκινον ἄγγος. Εἶτα ἐπίβαλον τὸν ἰὸν, λελειωμένον πάνυ, καὶ κίνει ὥστε ἑνωθῆναι ὁμοῦ πάντα. Εἶτα ὀλίγον τοῦ ἰνδικοῦ ἐπίβαλε, καὶ τὴν χρυσόκολλαν, τριπλασίαν τοῦ ἰνδικοῦ. Εἶτα θέρμανον τῇ πυρᾷ, στρέφων τριχολαβίδι, [1136] καὶ ἔασον εἰς τὸ φάρμακον.

40. ΑΛΛΩΣ. — Λαβὼν στυπτηρίας μέρος α′, χαλκοῦ κεκαυμένου μέρη ε′, ἰοῦ μέρη δ′, τρίψας ὄξει, ποίει πάχος μέλι-
(f. 155 r.) τος, καὶ [1137] ἔνθες τὰ λιθάρια, καὶ ἔασον ἡμέρας ζ′, καὶ ἔσται. [1138]

41. ΣΜΑΡΑΓΔΟΥ ΠΟΙΗΣΙΣ. — Βρέχε στυπτηρίᾳ ὑγρᾷ ἐπὶ ἡμέρας γ′ · ἐπανελόμενος βικίον μετὰ ὄξους, καὶ ἔψει ξύλοις ἐλαΐνοις μαλθακῶς, καὶ ἔασον ἀποψυγῆναι · καὶ ἀνελόμενος, βάλε εἰς ἔλαιον ἐξιωμένον ἐν αὐτῷ κυπρίου χαλκοῦ, καὶ ἔασον ἐπὶ ἡμέρας ἕξ.

42. ΑΛΛΩΣ. — < Λαβὼν > χρυσόκολλας ἀρμενιακῆς

1133. συρθεὶς A. (Le ν de συνθεὶς, dans B, ressemble ici à un ρ.)
1134. F. l. μέσον.
1135. γλυμίδια mss.
1136. A mg. : un trait montant.
1137. τρίψας] F. l. λειώσας. Cp. p. 328, l. 19 ; note.
1138. καὶ ἔσται] F. suppl. ὃ βούλει.

ἐξίου οὔρῳ ἀφθόρου παιδὸς ἡμέρας β′ κοτύλῃ, χολῆς ταυρίας μέρη β′ · ἔμβαλε εἰς χυτρίδιον, καὶ περιπηλώσας, ἔψε ἐλαΐνοις ξύλοις ἐλαφρῷ πυρὶ ἐπὶ ὥρας ἕξ. Οἱ δὲ λίθοι ἔστωσαν ἀπὸ κρυστάλλου.

43. ΥΑΚΙΝΘΟΥ ΠΟΙΗΣΙΣ. — Λαβὼν ἄνθος ὑακίνθου, βρέξον γάλακτι βοείῳ ἡμέραν α′, καὶ τρίβων, πάρεχε ὕδωρ ἐκ σιδίων βεβρεγμένων ὀμβρίῳ ὕδατι, καὶ μίγνυε χρυσοκόλλᾳ.

44. Εἰ δὲ πορφυρᾶ θέλῃς βάψαι, κυπρίου χαλκοῦ ῥίνισμα συλλείωσον.[1139] Εἰ δὲ χρυσοφανῇ, μολύβδου γῆν σύμμιγε, ἢ πράσου χυλὸν μετὰ[1140] χρυσοκόλλης.

45. ΠΩΣ ΔΕΙ ΠΟΙΗΣΑΙ ΤΑ ΥΠΟΛΕΥΚΑ ΛΙΘΑΡΙΑ ΕΡΥΘΡΑ. — Στυπτηρίαν ὕδατι ζέσας σὺν τῷ λίθῳ, καὶ κόκκον μετὰ ὄξους, θερμάνας εἰς καινὴν χύτραν, μετὰ τὸ ψύξαι τὸν λίθον ἐκ τῆς στύψεως, ἔμβαλε[1141] ...

46. ΚΡΥΣΤΑΛΛΟΥ ΣΤΥΨΙΣ. — Θεῖον, καὶ ἄσβεστον, καὶ στυπτηρίαν σχιστὴν χρῶ τρίτον, καὶ ἔασον ἡμέρας ϑ′, καὶ θερμάνας ἐπὶ ἀνθρακιᾶς, βάπτε μετὰ ἡμέραν μίαν.

47. ΑΛΛΩΣ. — Στυπτηρίαν βρέξον ὄξει ἐπὶ ἡμέρας ζ′, καὶ[1142] (f. 155 v.) οὕτως λαβὼν ἀναγαλλίδος τῆς τὸ κυάνεον ἄνθος ἐχούσης, καὶ ἀειζώου, καὶ τιθυμάλλου χυλόν · καὶ

1139. πορφυρὰ mss.
1140. F. l. χρυσοφανεῖ.
1141. F. l. ἐκ τῆς στύψεως ἔκβαλε. — Avec cette lecture, la phrase est achevée.
1142. A mg. : Trait montant.

χρυσόκολλην (?) ἐπὶ μαλθακοῦ[1143] πυρὸς ἕψει · ἔπειτα ἔμβαλε τὸν λίθον.

48. ΣΕΛΗΝΙΤΟΥ ΠΟΙΗΣΙΣ. — < Λαβὼν > χολῆς θαλασσίας χελώνης γ° δ′, χολῆς αἰγὸς γ° β′, ἰοῦ καθαροῦ γ° ΣΤ′ ἢ γ′, ἔμβαλε τοὺς λίθους διισταμένους ἀπ' ἀλλήλων · καὶ περιπήλωσον τὴν χύτραν, καὶ δὸς ὀπτᾶσθαι εἰς φοῦρνον. Ἔπειτα ἐκβαλὼν καὶ ψύξας, βάλε εἰς ἀγγεῖον κυπρινέλαιον ἐπὶ ἡμέρας ιε′, διόλου δὲ εἰς ἔλαιον σπάνιον.

49. ΚΑΤΑΣΚΕΥΗ ΕΙΣ ΤΟ ΒΑΨΑΙ ΛΙΘΟΝ ΕΡΥΘΡΟΝ.[1144] — Λαβὼν ῥίνισμα ἀπὸ χρυσοῦ καθαροῦ μερίδα α′, καὶ μαγνησίαν καλὴν μέρος[1145] α′, καὶ ἀρσένικον ἐρυθρὸν μέρος α′, σῶρι χρυσίζον μέρος α′, τρίψον ἕκαστον ἰδίᾳ, καὶ σεῖσον πανίῳ μεταξωτῷ · καὶ ἔασον ὁμοῦ, καὶ τρίψον πάλιν, καὶ σεῖσον εἰς μεταξωτόν · καὶ φύρασον οὔρῳ βοείῳ πρωίμως συνηγμένῳ, καὶ χρίσον τὸν λίθον, καὶ ἔασον στεγνῶσαι. Ἔπειτα τίθει τὸν λίθον εἰς χώνην μικρὰν, καὶ ἐπάνω τοῦ λίθου ἑτέραν χώνην, καὶ χρίσον τὰς ἁρμονίας καλῶς, καὶ θὲς τὸ χωνίον εἰς καμινάριον μικρὸν, καὶ ἀναπτέσθω ἡμέρας β′ ἀκαταπαύστως. Ἔστω ἠρέμα τὸ πῦρ ἁπτόμενον · καὶ ἔασον ψυχρανθῆναι μέχρι τῆς ἐπιούσης ἡμέρας · μέλλεις γὰρ εὑρεῖν ἐρυθρὸν οἷον βούλει. Τέλος.[1146]

1143. χρυσοκόλλην] signe à rapprocher, soit de celui de la chrysocolle, soit du signe de σεληνίδιον figuré dans les notations alchimiques (Introduction de M. Berthelot, pl. 6, l. 25).
1144. A mg. : σῆ.
1145. μερίδαν A.
1146. τέλος om. B.

1.2.8 5. — 8. Procédé de Salmanas.

ΜΕΘΟΔΟΣ ΔΙ' ΗΣ ΑΠΟΤΕΛΕΙΤΑΙ Η ΣΦΑΙΡΟΕΙΔΗΣ ΧΑΛΑΖΑ, ΚΑΤΑΣΚΕΥΑΣΘΕΙΣΑ ΠΑΡΑ ΤΟΥ ΕΝ ΤΕΧΝΟΥΡΓΙΑ ΠΕΡΙΒΟΗΤΟΥ ΑΡΑΒΟΣ ΤΟΥ ΣΑΛΜΑΝΑ

Transcrit sur A, f. 141 r. — *Collationné sur* B. f. 152 v. — *Consulté* C (*copie de* B) f. 106 r. *et* K (*copie de* A), f. 29 r. — *Contenu aussi dans Laur.*, art. 44.

1. Λαβὼν λεπτοτάτας χαλάζας, ἔμβαλε αὐτὰς ἐν ὑάλῳ · καὶ ἐπίβαλε ἐπ' αὐτῷ κίτριον ζωμὸν ὥστε σκεπασθῆναι ταύτας ὑπ' αὐτοῦ · ἐπάνω δὲ τοῦ τοιούτου ζωμοῦ, ἐπίρρανον βρύου κινστέρνης κεκαυμένου καὶ[1147] τετριμμένου καλῶς μέρος ὀλίγον. Εἶτα πώμασον αὐτὸ · καὶ ἐπιχρίσας ἀσφαλῶς τὸ ἐν τῷ στόματι αὐτοῦ πῶμα μετὰ τοῦ ᾠκονομημένου πηλοῦ, κρέμασον τὸν τοιοῦτον ὕαλον, ἐπὶ τῷ θερμαίνεσθαι ὑπὸ τοῦ (f. 141 v.) ἡλίου ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἐπὶ ἡμέραν μίαν · καθ' ὥραν δὲ[1148] λάμβανε τὸν τοιοῦτο ὕαλον, καὶ κίνει συχνῶς ὥστε συγκινεῖσθαι τούτῳ καὶ τὰς τοιαύτας ἔνδον χαλάζας αὐτοῦ. Τῇ δὲ ἐπαύριον ἀνακαλύψας τὸ ἐν αὐτῷ πῶμα, διύλισον τὸν ζωμὸν ἠρέμα

1147. κρύου mss. B mg. : κρύος κινστέρνης. Corr. conj. (β et κ souvent confondus dans les mss).
1148. μίαν] μίαν corrigé en μιᾶ A, ici et plus loin.

ὥστε μὴ χεθῆναι σὺν αὐτῷ τι ἀπὸ τῆς οὐσίας τοῦ συνθέματος τῶν τοιούτων χαλαζῶν. Καὶ ἐπίβαλε ἐν αὐτῷ ἕτερον ζωμὸν τοιοῦτον, καὶ ποιήσον αὖθις ὡς τὸ πρότερον · καὶ οὕτω ποίησον ἐκ τρίτου. Ὅταν δὲ ἴδῃς ὅτι κατεμοσχεύθη τὸ τῶν[1149] χαλαζῶν σύνθεμα καὶ κατεπόθη ὁ ζωμὸς ὑπ' αὐτοῦ, ἐπίβαλε ἐπ' αὐτοῦ ἕτερον τοιοῦτον ζωμόν. Εἶτα μετὰ τὸ λυθῆναι τὰς τοιαύτας χαλάζας καθόλου, καὶ γενέσθαι σύνθημα ἓν, λαβὼν τὸν τοιοῦτον σύνθημα, ἔμβαλε ἐν σινίῳ, καὶ πλήσας τὸ τοιοῦτον σινίον ὕδατος γλυκέως,[1150] τάραξον τὸ τοιοῦτον σύνθημα ἐντὸς τοῦ τοιούτου ὕδατος, καὶ ἔα καταστῆναι τὸ ἐν αὐτῷ ὕδωρ ἐπὶ ὥραν μίαν · καὶ πάλιν διύλισον ἠρέμα · καὶ τοῦτο ποίησον πολλάκις, ἕστ' ἂν ἀφανισθῇ τέλεον ἡ δριμύτης τοῦ ἐν αὐτῷ κιτρίου ζωμοῦ.

2. Ἔπειτα λάβε τὸ τοιοῦτον σύνθημα, καὶ ἔμβαλε αὐτὸ ἐν πατελλίῳ ὑαλίνῳ, καὶ ἐπιπώμασον τὸ τοιοῦτον πατέλλιον δι' ἑτέρου πατελλίου[1151] εὐρυστομωτέρου ὄντος, ὥστε περιλαμβάνεσθαι ὑπὸ τοῦ στόματος αὐτοῦ τὸ στόμα τοῦ κάτω πατελλίου. Ἐχέτω δὲ τὸ ἐπάνω πατέλλιον ὀπὴν ἄνωθεν, ὅπως ἀναπνῇ δι' αὐτοῦ ἡ ὑγρότης τοῦ συνθήματος. (f. 142 r.) Ἔστω δὲ ἡ τοιαύτη ὀπὴ ἐσκεπασμένη μετὰ πανίου ἀραιοῦ ἐπιλεγομένου χαρερίου · καὶ ἐπίθες ἐν ἡλίῳ αὐτὸ, ἐν τοῖς ὑπὸ κύνα καύμασι · καὶ[1152] ξηράνας τὸ σύνθημα, φύλαξον τοῦτο.

1149. B mg. : un double trait ; κατεμοσχεύθη τ. τ. χαλ. soulignés.
1150. σινίῳ souligné B et mg. : σίνιον.
1151. πατελίῳ BA, ici et partout.
1152. χαρερίου souligné B. (χαράρι en néoerec.)

3. Εἶτα λαβὼν ὑδραργύρου λίτραν μίαν, καὶ ἀπὸ τοῦ οἰκονομηθέντος[1153] διὰ τοῦ ἀσβέστου τζαπαρικοῦ, λείωσον ἡμέρας β΄ ἢ γ΄ ἢ ε΄ ἢ ζ΄ · καὶ ἀποξηράνας, αἰθάλωσον καὶ ἀποκάθαρον. Εἰ δ' οὖν ξηρὸν ὂν ἔνωσον ἐξ αὐτοῦ λίτραν ἡμίσειαν τῇ μιᾷ λίτρᾳ τῆς ὑδραργύρου · κατ' ὀλίγον ὑποτρίβων ἔστ' ἂν ἀφανισθῇ καὶ οἷον εἰπεῖν καταποθῇ ἡ ὑδράργυρος ἅπασα · καὶ ἀνάσπασον ἐν ὑάλοις μετὰ χαύνου πυρὸς ἔστ' ἂν ἴδῃς λευκὴν ὡς χιόνα. Εἶτα λαβὼν ἀπὸ τοῦ ξηρανθέντος συνθέματος τοῦ τῶν χαλαζῶν μέρη δ΄, καὶ ἀπὸ τῆς ῥηθείσης ὑδραργύρου μέρη ΣΤ΄, ἔνωσον ἐντὸς πατελλίου παχέως ὑαλίνου, ἀνατρίβων καὶ λειῶν καλῶς μετὰ τριβιδίου ὑαλίνου, ἀρδεύων τῷ λευκῷ ζωμῷ βοτάνης τῆς ἐπιλεγομένης ζωκάρου. Ἔστω δὲ ὡς στέαρ ἡ ζύμη παχεῖα · λείωσον δὲ[1154] καλῶς καὶ ἐπιμελῶς · καὶ λαβὼν ἀπὸ τῆς τοιαύτης ζύμης ὅσον βούλει, βάλον ἐντὸς πανίου λευκοῦ μεταξωτοῦ, καὶ σφαιροποίει εἰς ὃ ἂν βούλει μέγεθος. Ἔστωσαν δὲ ἐν τῇ τοιαύτῃ σφαιροποιΐα ἐργαλεῖα τοιαῦτα[1155] · δοίδυξ ἀργυροῦς, λαβὶς ἀργυρᾶ, χειροδάκτυλοι ἀργυροῖ · καὶ διὰ τῶν τοιούτων ἐργαλείων, ἐργάζου τὴν τοιαύτην σφαιροποιΐαν. Ἐχέτω δὲ σοῦ ἡ διάνοια προσοχὴν τοιαύτην ὅπως μὴ ἅψηται αὐτὸ (f. 142 v.) ἡ χείρ σου, μήτε μὴν οὐδὲ ἀναπνοή, μηδὲ κονιορτὸς προσψαύσῃ · φαρμακεύεται[1156] γὰρ καὶ με-

1153. BA mg. (de 1re main) : ὅρα τὴν οἰκονομίαν τῆς χρυσοποιΐας, καὶ μὴ πλανηθῆς.
1154. B mg. : ζώκαρος *herba*.
1155. A mg. : ἀρω (?).
1156. F. l. μή γε μήν.

λαίνεται καὶ μένει ἄχρηστον. Ἔπειτα δῆσον μετὰ ἐψημένης μετάξης τὰς ἐν τοῖς διαλιφεῖσι λευκοῖς μεταξωτοῖς σφαίρας · καὶ οὕτω μίαν ἑκάστην τῶν τοιούτων σφαιρῶν ἐμβαλὼν ἐν ὑάλῳ, κίνει, συχνῶς καὶ ἠρέμα ἀποκυλίων. Καὶ ἐπὰν ἴδῃς καλῶς σφαιρωθείσας, λαβὼν, τρύπησον μετὰ σύρματος ἀργυροῦ, καὶ μετὰ τὸ τρυπῆσαι,[1157] κίνει αὖθις ἐν τῷ ὑάλῳ.

4. Μετὰ ταῦτα λαβὼν ζωκάρους, ἔμβαλον ἐν τριβλίῳ καθάρῳ · τρίψον στύψιν ὀλίγην · ἐπίρρανον ἐπὶ τὰς σάρκας τούτων · ἀποσφιγγομένων γὰρ αὐτῶν διὰ τὸ στύφον, ἀποβάλλονται τὸ γλοιῶδες. Λαβὼν οὖν ἀπὸ τοῦ γλοιώδους τούτου μέρος ὀλίγον, καὶ ἐμβαλὼν ἐν ὑάλῳ, ἐγκύλιε ἑκάστην τῶν σφαιροειδῶν χαλαζῶν. Ἐχέτω δὲ ἑκάστη σύρμα ἀργύριον, καὶ δέχου ταύτην ἐνδέξιον δι' αὐτοῦ · καὶ λαβὼν κόσκινον ὃ ταγάριον καλοῦσι, ποίησον ὀπὰς λεπτὰς ἐν αὐτῷ,[1158] καὶ πήγνυε ἀπὸ τοῦ ἔνδοθεν μέρους ταῖς τοιαύταις ὀπαῖς τὰ συρμάτια τὰ ἔχοντα τὰ σφαιροειδεῖς χαλάζας. Ἔπειτα λαβὼν καὶ ἕτερον ταγάριον, ἁρμόζον τῷ ἑτέρῳ, πλῆσον βαμβάκης ἐστιβασμένης, ἐμβαλὼν[1159] κούφως καὶ πάνυ περιπεπετασμένως · καὶ λαβὼν τὸ ἔχον τοὺς μαργάρους, ἅρμοσον, καὶ ἔα ξηραίνεσθαι ἐντὸς τοῦ τοιούτου κοσκίνου ἐπὶ ἡμέρας ι'. Εἶτα ἔμβαλε (f. 143 r.) ἑκάστην σφαῖραν χαλαζοειδῆ ἐν ὑάλῳ βικοειδεῖ, ἀποκυλίων ἐν αὐτῷ, ἔστ' ἂν γνοίης ὅτι κτυποῦσιν ὡς λίθοι. Ἔπειτα στίλβωσον αὐτὸ καθὸ καὶ οἱ λίθοι στιλβοῦνται παρὰ τῶν

1157. B mg. : σύρμα ἀργυροῦν, *filum argenteum.*
1158. B mg. : ταγάριον, *cribrum.*
1159. ἁρμόζων A, f. mel. — B mg. : βαμβάκην.

καβατόρων.[1160]

5. Ἔπειτα λαβὼν ἰχθύας λιμναίους ἢ ποταμίους μῆκος ἔχοντας πηλαμύδος, ἢ καὶ ἔλαττον ταύτης, σχίσον αὐτοὺς ἀπὸ τῆς εὐωνύμου πλευρᾶς, καὶ ἔκβαλε τὰ ἔγκατα αὐτῶν. Καὶ πλῦνον τὸ δοχεῖον τῶν ἐγκάτων τούτων καλῶς, ὥστε μὴ ἐναποληφθῆναι ὕφαιμόν τι ἐν αὐτῷ. Εἶτα λαβὼν τὰς φούσκας τούτων, τρύπησον αὐτὰς, ἐμβαλὼν[1161] ἐν αὐταῖς νίτρον τετριμμένον καὶ ἐζυμημένον μετὰ ὕδατος, καὶ ἔα ἐπὶ ὥραν μίαν. Εἶτα πλῦνον τὰς τοιαύτας φούσκας καλῶς μετὰ τοῦ τοιούτου νίτρου, τρίβων αὐτὰς διὰ τῆς χειρός σου. Εἶθ' οὕτως ἀποκάθαρον αὐτὰς διὰ τοῦ ὕδατος · καὶ μετὰ τὸ ἀποκαθάραι, λαβὼν τὰς ἄνω γεγραμμένας σφαιροειδεῖς χαλάζας, ἔμβαλον ἀνὰ μίαν[1162] ἑκάστην ἐν τῇ φούσκᾳ, καὶ ἀποδέσμει μετὰ μετάξης ἐψημένης, δεσμῶν κατὰ μίαν χάλαζαν ἀνὰ ἕνα δεσμόν. Καὶ οὕτως ἐμβαλὼν τὰς φούσκας σὺν ταῖς ἐν αὐταῖς χαλάζαις ἔνδον τοῦ δοχείου τῶν ἐγκάτων τῶν τοιούτων ἰχθύων, σύρραψον τὰ διασχισθέντα δέρματα αὐτῶν μετὰ μετάξης · καὶ ἐπίθες ταῦτα ἐπὶ κεραμίδος. Ἔχε δὲ ἡτοιμασμένον ἐπὶ τούτῳ φουρνάκιον μικρὸν, καὶ ἄναψον τοῦτο καλῶς, ἕως ἂν λευκανθῇ ὑπὸ τῆς πυρώσεως αὐτοῦ. Καὶ οὕτως ἐμβαλὼν ἔνδον τοῦ τοιούτου φουρνακίου τοὺς τοιού- (f. 143 v.) τους ἰχθύας ἐπικειμένους ἐπάνω τῆς τοιαύτης κεραμίδος, ἀσφάλισαι

1160. B mg. : *cauatores lapidum.*
1161. φύσκας mss. partout, excepté ligne 21.
1162. ἀναγεγραμμένας B.

τὸ [1163] τοιοῦτον φουρνάκιον, καὶ χρίσον τὸ στόμα αὐτοῦ · καὶ ἔασον ὀπτᾶσθαι ἐπὶ ὥρας γ′. Καὶ ἐξελὼν τοὺς τοιούτους ἰχθύας ἀπὸ τοῦ φουρνακίου, ἔασον χλιανθῆναι · καὶ οὕτως ἔκβαλε ἐξ αὐτοῦ τὰς φούσκας μετὰ τῶν ἐν αὐταῖς χαλαζῶν · καὶ σχίσας ταύτας, ἔξελε τὰς ἐν αὐταῖς χαλάζας ἐξ αὐτῶν, καὶ ἔμβαλε αὐτὰς ἐν σινίῳ, καὶ πλῦνον [1164] μετὰ σαπωνίου καὶ θερμοῦ ἀπὸ τῆς λιπότητος τῶν ἰχθύων, καὶ εὑρήσεις αὐτὰς τελείας χαλάζας σφαιροειδεῖς, μηδὲν διενηνοχυίας τῶν κρειττόνων φυσικῶν.

✶

✶✶

1.2.9 5. — 9. Traitement des Perles.

Série d'articles faisant suite au morceau précédent.

1. ΣΜΗΞΙΣ ΚΑΙ ΛΑΜΠΡΥΝΣΙΣ ΜΑΡΓΑΡΩΝ H_I ΠΟΛΛΑΚΙΣ Ο ΔΕΔΩΚΩΣ ΕΛΕΓΕ ΧΡΗΣΘΑΙ. [1165] — Πρῶτον βαλὼν ἔλαιον ἐν μυάκι, θέρμαινε [1166] καίων παπύροις ἢ καλάμοις · καὶ ὅτε χλιαρὸν γένηται, χάλα τὸν μαργαρίτην. Εἶτα ἄρας ἀπὸ τοῦ ἐλαίου, χρίε αὐτὸν τῷ χρίσματι τῷ διὰ πυρίτου καὶ ψιμμυθίου. Εἶτα καταπλύνας ἐν ὕδατι, χρίε πάλιν ἕως ξηρανθῇ · καὶ πλύνας πάλιν,

1163. ἀσφάλισθι A.
1164. B mg. : σίνιον.
1165. F. l. ὁ ἐκδεδωκὼς.
1166. B mg. : μυάκιον.

χρίσον ἕως ἑπτάκις. Ἀγαγὼν δὲ καὶ ἀποπλύνας, βάλε εἰς χυλὸν βώλου. Ἐὰν τις ἐν κολλουρίοις μίξῃ τοῦ[1167] χυλοῦ, πᾶς ὁ ἐγχριόμενος λευκώματα ποιεῖ · εἰ δὲ οἶνον πίει, λεπροῦται, ὅλον δὲ, εἰ γράμμασι κεντητοῖς δι' ἐγκαύστου μέλανος καὶ πράσου[1168] χρίσαις, ἀναπίνει τὰ γράμματα.[1169]

2. ΛΥΣΙΣ ΜΑΡΓΑΡΟΥ. — Λειώσας τὰ λεπτὰ μαργαριτάρια εἰς[1170] λεπτὰ πάνυ, ἔμβαλε εἰς ὑάλινον ἀγγεῖον μετὰ ὄξους κιτρίου, καὶ θὲς εἰς πρίσματα νυχθήμερα γ΄, καὶ λυθήσονται καλῶς.

3. ΑΛΛΩΣ. — Ἁλέσας (f. 144 r.) καλὸν ἄλευρον σίτινον, φύρασον[1171] εἰς ὄξος κίτρου ὀξίνου, καὶ χυλὸν κράμβης ἀγρίας · προσβαλὼν ὀπὸν ἰτέας καὶ σκίλλης, καὶ θὲς τὸν μαργαρίτην, καὶ ἔα λυθῆναι · καὶ ὡς οἶδας τὰ ἑξῆς.

4. ΛΕΥΚΩΣΙΣ ΜΑΡΓΑΡΙΤΩΝ. — Λαβὼν σκαμωνίαν, λείωσον ἰσχνῶς πάνυ, καὶ σεῖσον · καὶ λάβε ζύθον κρίθινον ἄθικτον · συλλείωσον τὴν σκαμωνίαν,[1172] καὶ ποίησον ὑδαρεστέραν · καὶ βάλε εἰς φιάλην ὑαλίνην, καὶ κρέμασον τὸν μαργαρίτην, καὶ σκέπασον ἄλλῃ φιάλῃ, καὶ περιπηλώσας, ἄφες ὥρας ϑ΄, καὶ γίνεται λευκός. Ἐρεύνα δὲ μὴ πλείω · ϑέλει ἡμέρας[1173] ζ΄ ἢ ιγ΄ ἐν ἡλίῳ ἢ ἱππείᾳ κόπρῳ, λύε τὸ

1167. βώλου] βωλ΄ mss. Cp. Scholia in Nicandri Alexiph. v. 526. — κολλουρίοις mss.
1168. F. l. πρασίου.
1169. χρίσαις] F. l. χρησθῇς (?).
1170. μαργάρου] τῶν μαργάρων A.
1171. Ἁλέσας] ... λέσας B ; ἐλέσας AK. Corr. conj. Cp. p.372, l. 6.
1172. B mg. : une étoile. — ζῆθον BA, ici et plus loin.
1173. ϑέλει] F. l. ϑὲς.

ἀφροσέληνον ὄξει δριμεῖ πάνυ.[1174]

5. ΤΟΝ ΔΕ ΜΑΡΓΑΡΟΝ ΣΚΕΥΑΖΕ ΟΥΤΩΣ. — Λαβὼν λίθον σιδηρίτην, καὶ ἀρσενίκου καὶ μαγνησίας καὶ ἀφροσέληνου ῥίνισμα, ἴσα λειώσας, ἔψε τῇ οἰκονομίᾳ τῇ διὰ κινναβάρεως. Λαβὼν τὸ ἀφροσέληνον, καὶ βάψας μέλιτι, βάλε ὄρνιθι φαγεῖν · καὶ μὴ δώσῃς αὐτῇ τι ἕτερον φαγεῖν, μήτε ἐάσῃς διακινεῖν, ἀλλ' ἀπόκλεισον ταύτην εἰς σκαφίδιον ἢ[1175] εἰς κόφινον · καὶ ὑπόθες κερβίον, καὶ δὸς αὐτὸ λελυμένον · προκάθαρον[1176] δὲ αὐτῆς τὸ ἔντερον, διδοὺς φαγεῖν ἀκρίδας ἡμέρας γ′, καὶ οὕτω τὸ ἀφροσέληνον, καὶ εὑρήσεις ἐν τῷ κερβίῳ ἐκκριθὲν λεῖον μυστήριον.[1177]

6. ΕΤΕΡΑ ΠΟΙΗΣΙΣ. — Λαβὼν τὰ μικρὰ μαργαριτάρια, ἔμβαλον εἰς ἄγγος ὑάλινον καὶ ὄξος δριμύ, καὶ ὀπὸν κυρηναϊκὸν λευκὸν καταστάμενον ἐπὶ ἡμέρας ις′ · καὶ ἔασον συμφιμώσας εἰς θερ- (f. 144 v.) μὸν τόπον νυχθήμερον · καὶ τὸ ἐξῆς ἐπίβαλε ὄξός κίτρων, καὶ σαλεύσας, ἔασον βραχύ, καὶ λυθήσονται · καὶ τότε πῆξον ὡς ἐπινοεῖς τυπώσας. Ἡ δὲ πῆξις γίνεται δι' ἀφροσελήνου.

7. ΛΕΥΚΩΣΙΣ ΣΤΥΓΝΩΝ ΚΑΙ ΡΥΠΑΡΩΝ. — Βάλε εἰς βολβὸν ἢ εἰς κρουφίκιν, καὶ περισκέπασον στέατι ἄρτου, καὶ ὄπτα φούρνῳ ἢ κλιβάνῳ,[1178] καὶ λευκαίνονται.

8. ΑΛΛΟ. — Λαβὼν τοὺς λεπτοὺς μαργάρους, ἔμβαλον

1174. Les mots λύε — πάνυ soulignés dans B.
1175. καφίδιον BA.
1176. B mg. : κερβίον.
1177. λεῖον] F. l. θεῖον.
1178. κρουφίκιν souligné dans B.

εἰς χυλὸν κίτρων, ἐκπιέσας τὰ ὄξινα τῶν κίτρων, καὶ ἀφυλίσας πολλάκις ἕως διαυγὲς γένηται · καὶ οὕτως βάλε εἰς ῥάκος τὰ εἴδη, ἕως διαλυθῶσι · καὶ ὅταν γένηται διάλυσις αὐτῶν, πλῦνον αὐτὰ ἐπὶ ἡμέραν μίαν, καὶ ἔμβαλον στέατον ἔσω εἰς βολβὸν ῥίζης. Τὸν βολβὸν βάλον εἰς φούρνον [1179] ἕως ὀπτηθῇ τὸ στέατον · καὶ ἄρας, καὶ ψύξας, εὑρήσεις λευκανθέντα. Λοιπὸν σὺ κάθαρον στίλβον ὡς ἐπινοεῖς, ὡς τεχνίτης τὰ οἰκεῖα ποιῶν. Τινὲς δὲ διδόασι μετὰ ταῦτα καταπιεῖν ὄρνιθι ἀφ' ἑσπέρας ἕως ὥρας μιᾶς, καὶ ἐῶσι τὸ ὄρνεον ἄποτον ἐκδιψῆσαι · καὶ οὕτω θύσαντες, εὑρίσκουσι στιλπνὰ τὰ εἴδη.

9. ΛΕΥΚΩΣΙΣ ΜΑΡΓΑΡΩΝ ΚΙΡΡΩΝ. — Λαβὼν μαργαρίτας, χάλα εἰς γάλα κυνὸς λευκῆς, καὶ ἔα ἐπὶ ἡμέρας ζ′ ἐπιπωμάσας · καὶ ἔπαιρε ταῦτα ἰδίᾳ τριχὶ εἰρμένα · καὶ βλέπε εἰ γεγόνασι λευκά · εἰ δὲ μὴ, ἐπιχάλα ἕως καλῶς ἔχῃ τοῦτο · κἂν ἄνθρωπον χρίσῃς, λεπροῦται, καὶ τοσαύτην ἔχει τὴν δύναμιν · ἐπιπασθείσης δὲ αὐτῷ γῆς σα- (f. 145 r.) μίας [1180] ἐκ τῆς ὑγρᾶς γῆς μνᾶν α′.

10. ΠΗΞΙΞ ΜΑΡΓΑΡΩΝ. — Βάλε αὐτὰ εἰς γάλα κυνὸς μελαίνης, καὶ ὅτε κηρώδη γίνονται, βάλε εἰς τύπους.

11. ΛΕΥΚΩΞΙΞ ΜΑΡΓΑΡΩΝ. — < Λαβὼν > ἕκαστον ζύθου κωχλιάρια β′, τρίβε τε ὁμοῦ καὶ ἐπιχάλα τὸν μάργαρον ἐπὶ ὥρας ἕξ.

1179. B mg. : double trait ; les mots βολβὸν — ῥίζης soulignés. — F. l. ἔμβαλον στέατον (?) ἔσω εἰς βολβοῦ ῥίζην.
1180. ἐπὶ παυσεθεῖ (?) B ; ἐπὶ παύσθεσι AK. — K mg. : πάσχε τῇ d'une main plus récente. — αὐτοῦ mss.

12. ΠΕΡΙ ΜΑΡΓΑΡΩΝ. — Βάλε αὐτοὺς, καὶ πῆσσε ὀπῷ συκῆς, ἢ τιθυμάλου, ἢ καλπάσου, καὶ ἔα διανυκτερεῦσαι · καὶ ὅταν παγῶσι,[1181] προσπλάσας ἕνα ἕκαστον τῷ ἀφυλισθέντι τῷ ἄνω γενομένῳ γλοιώδει, ἔα ξηραίνεσθαι μῆνα ἕνα. Καὶ οὕτω βαλὼν ἐν ζώσῃ ἀσβέστῳ, ῥάνον ὕδωρ ἐλαφρῶς, ἕως λυθῇ ἡ ἄσβεστος, καὶ ἔασον ἕως ψυγῇ · καὶ ἄρας, εὑρήσεις παγέντας. Ἔστωσαν δὲ καὶ τὰ προσπλασθέντα ἔχοντα ἐν τῇ φυράσει αὐτῶν ὑδρόκομι λευκόν · καὶ οὕτω ξήραινε, ἵνα καὶ εὐκόλως παγῶσι καὶ ἐν τῇ μίξει τῆς κατασβεννυμένης ἀσβέστου, ὅταν ἐνθῇς αὐτὰ σύστασιν ἔχοντα ἐλαίῳ ὥραν, ἀπόπλυνον καθαρῷ λευκῷ ἐκμυζῶν. Εἶτα ἐρεύνησον ἐὰν μὴ ὦσι στίλβοντες, καὶ βάλε αὐτοὺς ἐν τῇ βολβῷ τῇ κριθίνῃ · καὶ πλάσσε αὐτὴν, καθαρὸν ἀρτὸν ποιήσας · καὶ ὄπτα ἐν κλιβάνῳ · οὕτω σμῆχε καὶ στίλβου, καὶ θαυμάσεις · τρίχιζε δὲ πρὸ τοῦ παγῆναι.

13. ΛΕΥΚΩΞΙΞ ΜΑΡΓΑΡΩΝ ΚΙΡΡΩΝ. — Σκίλλης τῆς ἀκροτάτης καὶ ἐκλεύκου, ταύτης ἐκμέσου φύλλων, καὶ στρούθιον βοτάνην λύε ἐξίσου[1182] · καὶ ποιήσας φάρμακον, βάλε τοὺς μαργαρίτας, καὶ ἔγκρυπτε εἰς αὐτὸ · ἐὰν δὲ ὦσι στερεοὶ, πρόσμιγε οὖρον (f. 145 v.) παρθένου καὶ ὀλίγον μέλι λευκόν.

14. ΣΜΗΞΙΞ ΜΑΡΓΑΡΩΝ. — Λαβὼν σκόροδα, λείωσον μεθ' ὕδατος, καὶ βάλε εἰς βησσίον · καὶ τὸν μάργαρον

1181. B mg. : κάλπασος.
1182. Les mots στρούθιον βοτάνην soulignés B, et mg. : *lanaria radix ad dealbandas margaritas.*

διαίρων τριχὶ, ἐπέμβαλε[1183] κάτω ἐμβρέχεσθαι ἐπὶ ἡμέραν καὶ νύκτα · καὶ ἀνάμενε ὡς κατανοεῖς · καὶ εἰ οὔπω γέγονε, τότε λείωσον μετ' ὀλίγης τέφρας λεπτοτάτης, καὶ ἔμπλασον εἰς ῥάκος λινοῦν · καὶ περίφερε ἐν τῷ θερμῷ κάτω, ἕως λυθῇ ἡ σποδὸς καὶ μοσχευθῇ ὁ μάργαρος, καὶ εὑρήσεις αὐτὸν λευκὸν καὶ ἄσπρον. Ἔστω δὲ πάντοθεν ὑγιής.

15. ΣΜΗΞΙΣ ΒΡΕΤΑΝΙΚΟΥ. — Λαβὼν ὀπὸν κυρηναϊκὸν, λείωσον[1184] μεθ' ὕδατος, καὶ ἔμβαλε εἰς βησσίον μικρόν. Οὐ λύεται δὲ ὁ ὀπὸς, ἀλλὰ μένει ἐν τῷ ὕδατι ὡριζός. Καὶ λαβὼν τὸν μάργαρον, διέλε[1185] τριχὶ ἱππείᾳ. Ἔστω δὲ μὴ ἔχων κλάσμενα ὁ μάργαρος. Καὶ ἔμβαλε[1186] αὐτὸν ὀπῷ, καὶ εὐθέως συμπλέκεται αὐτῷ ὁ ὀπός · καὶ ἔασον αὐτὸν μεῖναι ἡμέραν καὶ νύκτα · καὶ ἀνερχόμενον, ἀπόμαξον, καὶ εὑρήσεις αὐτὸν ἐσμηγμένον καὶ ὄντα λευκόν · εἰ δὲ καὶ ἐπιπλέον χρήζει σμήξεως, ἔμβαλε αὐτὸν ἐπὶ νύκτα καὶ ἡμέραν μίαν · καὶ πάλιν ὁμοίως, καὶ ποίει κατανοῶν, ἕως ἂν γένηται καλῶς.

16. ΣΜΗΞΙΣ ΜΟΝΑΧΟΥ ΤΩΝ ΜΟΛΙΒΔΙΖΟΝΤΩΝ. — Λαβὼν σκόροδα,[1187] λείωσον μετὰ οὔρου ἀφθόρου · καὶ βαλὼν εἰς ληκύθιον, βάλε κάτω τὸν μαργαρίτην, καὶ ἔα βρέχεσθαι νυχθήμερα γ΄. Καὶ λαβὼν ὀπὸν κυρηναϊκὸν καὶ

1183. βισσίον B ; βυσσίον A, ici et plus loin. Corr. conj. — διαιρῶν BA. Corr. conj.
1184. βρετανικῶν B, et mg. : βρετακινοῦ *cod.* 3184 (aujourd'hui le ms. 2275 de Paris, = C).
1185. ὡριζὸς souligné B. F. l. χωριστός.
1186. F. l. κλάσματα.
1187. B mg. : *suppl.* μαργάρων.

ἔλαιον ἱσπανὸν, θέρμαινε · καὶ διάρας τὸν[1188] μαργαρίτην τριχὶ, περίφερε ἕως ἂν ἴδῃς αὐτὸν λευκόν. Πρῶτον οὖν[1189] βαλὼν σκόροδα (f. 146 r.), πάλιν τε ἐμβαλὼν εἰς τὸ ἔλαιον, καὶ καχλάσαντα ἀναλαβὼν τὰ σκόροδα, οὕτω βάλε ὀπὸν, ἐὰν δὲ μὴ γένηται καλῶς, βάλσαμον ἀντ' ἐλαίου, καὶ γίνεται.

(*La suite a été publiée* : 1, 16 *et* 17.)

✴

✴✴

1.2.10 5. — 10. ΠΕΡΙ ΖΥΘΩΝ ΠΟΙΗΣΕΩΣ.

Transcrit sur M, f. 162 r. — *Collationné sur l'édition de Gruner, faite d'après le ms. de Gotha et reproduite par Schneider dans ses* Eclogæ physicæ.

Λαβὼν κριθὴν λευκὴν, καθαρίαν, καλὴν, βρέξον ἡμέραν α΄, καὶ ἀνάσπασον ἢ καὶ κοίτασον ἐν ἀνηνέμῳ τόπῳ ἕως πρωΐ · καὶ πάλιν βρέξον ὥρας ε΄ · ἐπίβαλε εἰς βραχιώνιον ἀγγεῖον ἡθμοειδὲς, καὶ βρέχε. Προαναξήρανε ἕως οὗ γένηται ὡς τύλη · καὶ ὅτε γένηται, ψῦξον ἐν ἡλίῳ[1190] ἕως οὗ πέσῃ · τὸ μαλίον γὰρ πικρόν. Λοιπὸν ἄλεσον καὶ ποίησον ἄρτους[1191] προσβάλλων ζύμην ὥσπερ ἄρτου · καὶ

1188. Les mots διάρας — τριχὶ soulignés dans B.
1189. Les mots ἂν ἴδῃς αὐτὸν soulignés dans B.
1190. τίλη M. — ψῆξον Gruner.
1191. F. l. μαζίον.

ὄπτα ὠμότερον · καὶ ὁτ' ἂν ἐπανθῶσιν, διάλυε ὕδατι γλυκεῖ καὶ ἤθμιζε διὰ ἠθμοῦ ἢ κοσκίνου[1192] λεπτοῦ. Ἄλλοι δὲ ὀπτῶντες ἄρτους βάλλουσιν εἰς κλουβὸν μετὰ[1193] ὕδατος, καὶ ἑψοῦσι μικρὸν, ἵνα μὴ κοχλάσῃ, μήτε ἧ χλιαρὸν, καὶ ἀνασπῶσι καὶ ἠθμίζουσιν · καὶ περισκεπάσαντες, θερμαίνουσι καὶ ἀνακρίνουσιν.

✶
✶✶

1.2.11 5. — 11. ΣΤΑΚΤΗΣ ΠΟΙΗΣΙΣ.

Transcrit sur M, f. 162 v.

1. Τέφρας ξύλων τῶν σῶν μόδια δ′ μερίζονται εἰς δύο γαστέρας τετρυπημένας ἀπ' ἄκρων. Περὶ δὲ τὴν τρύπην ἔσωθεν τὴν λεπτὴν ὑποτίθει χορτάριον ὀλίγον, ἵνα μὴ ἀποφράξῃ τὴν τρύπην ἡ τέφρα. Καὶ ἐν μιᾷ τῶν γαστερῶν ὕδατος γέμισον · καὶ τῆς γαστέρας τὸ ἀπόσταγμα[1194] λάβε τὸ γενόμενον ἐν τῇ νυκτὶ πάσῃ, καὶ ἐπίβαλλε εἰς τὴν δευτέραν γαστέραν · καὶ τότε < τὸ > ἀπ' ἐκείνης στάξαν ἔχε. Καὶ βαλὼν πάλιν ἄλλην τέφραν, ἀποσείρου · καὶ γίνεται ὡς νάρδον χρυσίζον.[1195] Ἐπάγαγε ἐπὶ τὴν τετάρτην γαστέρα · καὶ γίνεται δριμὺ καὶ ἰσχυρόν · καὶ αὕτη ἡ μερικὴ στάκτη.

1192. γλυκὺ M.
1193. ὀπτόντες M, qui emploie assez souvent l'ionien ὀπτέω.
1194. γαστέρων M.
1195. ἀποσήρου M.

2. Τινὲς δὲ τὴν καθολικὴν ἐποίησαν, προσβάλλοντες ἄσβεστον θειώδη καὶ φέκλην, καὶ στυπτηρίαν, καὶ τὰ ἑξῆς. Καὶ μᾶλλον οὕτως εἰργάσαντο[1196] αἱ τῶν ὑδάτων θείων (?) αὗται λευκὸν ὕδωρ · εἰς δὲ τοὺς M°M° λύσαντες τῆς ζύθου πολλῆς, καὶ ὀπῶν δενδρικῶν συκαμίνου, καὶ συκῆς καὶ καλπάσου, καὶ βοτανῶν ἀπὸ τιθυμάλου, αἵματος τραγείου καὶ ζύμης τῆς αὐτῶν.

3. Ἐν δὲ τῇ βαφῇ τῶν κρυστάλλων, εὐθέως ἐπιβάλλεται χρωϊζόμενον · ὕστερον γὰρ ἐτήρησε τὸ μέλι καὶ τὸ ἔλαιον καὶ τὸ βάλσαμον.

4. Ἵνα μὴ ἐν τῇ στάκτῃ ὑπὸ τῆς τέφρας ἀναλωθῇ, τινὲς ὄξος ἔβαλλον, ἄλλοι καὶ οὖρον · ἄλλοι ὕδωρ τινὲς ἀποστάξαντες πάντα ἰδίως ἔμιξαν, καὶ κάλλιον ἐποίησαν, ἢ οὔρῳ καὶ ὄξει ποιήσαντες · καὶ τὸ ὅλον ἔφησαν στάκτην. Τινὲς τούτῳ τῷ ὕδατι τὰς οἰκείας βοτάνας βαλόντες καὶ ζυμῶσαι καλέσαντες, κρόκον καὶ ἐλύδριον καὶ μηλέας φύλλα καὶ τὰ ὅμοια λειώσαντες ὄξει νίτρῳ. Ἄλλοι καὶ στυπτηρίαν καὶ μύσι ὀπτὸν καὶ κυανὸν καὶ ὕδωρ θεῖον · καὶ ποιήσαντες μάζαν, καὶ μετὰ τὸ συνιδρῶσαι καὶ τὸ ζωμῶσαι, ἐχάλασαν εἰς τὸ ξανθὸν ὕδωρ καὶ ἥψησαν τὸ σύνθεμα, ὕστερον κεράσαντες μέλιτι καὶ βαλσάμῳ καὶ ὄξει · ἐν δὲ τῇ λειώσει οὕτως καὶ ἐν τῷ ὄξει ὀλίγον ζύμης δριμυτέρας καὶ μοσ- (f. 163 r.) χίου χολήν. Τινὲς καὶ σκόρδα καὶ κρόμμυα ἔβαλον.[1197] Ἔνθεν διδάσκει ὅτι τὰ φεύγοντα τοῖς

1196. φέκλης M.
1197. κρώμυα M.

μὴ φεύγουσι μιγέντα βάπτει τὴν ψυχροβαφήν.[1198]

✶

✶✶

1.2.12 5. — 12. ΠΟΣΟΣ Ο ΤΩΝ ΒΑΠΤΟΜΕΝΩΝ ΕΡΙΩΝ ΣΤΑΘΜΟΣ ΩΦΕΙΛΕΝ, ΚΑΙ ΠΟΣΟΣ Ο ΤΗΣ ΚΟΜΑΡΕΩΣ, ΚΑΙ ΠΟΣΟΣ Ο ΤΩΝ ΒΕΒΑΜΜΕΝΩΝ ΥΔΑΤΩΝ.

Transcrit sur M, f. 127 v. — *Collationné sur* B, f. 115 v. ;— *sur* A, f. 109 r. ;— *sur* K, f. 15 v. — *Les variantes de* M *ont été reportées sur* K, *de la main déjà signalée* (p. 36).

Χρὴ μέντοι διπλάσιον εἶναι τὸν σταθμὸν τῶν ὑδάτων τοῦ σταθμοῦ τῶν ἐρίων · ἡ δὲ μνᾶ τῶν βεβαμμένων ὑδάτων δέχεται κομάρεως τὸ τριακοστόδυον, ὅπως κάλλιον πλεονάζῃ ἢ ἐλαττοῦσθαι τὸ[1199] βαπτόμενον τοῦ βαπτομένου. Μόνον γὰρ τὴν ἑαυτοῦ χρείαν τὸ[1200] βαπτόμενον · ἔνθεν οὐδὲ φέρειν ἐπίσταθμιν δέχεται βαφὴν ἀληθῆ,[1201] τουτέστιν ἄφευκτον :

✶

1198. M mg. : ὠ < ραῖον > ὅλον, sur une ligne verticale.
1199. τριακοστόδιον BAK. — ὅπως] ὥστε BAK. — πλεονάζειν BAK.
1200. βαπτομένου] βάπτοντος BAK, qui ajoutent : καὶ κατὰ πολύ. — Réd. de BAK : μόνον γὰρ τὸ βαπτόμενον οὐδὲ μετὰ ταῦτα φέρει τὴν ἑαυτοῦ χροιάν (fin).
1201. ἐπισταθμὴν K, dans le report de la rédaction de M.

✶✶

1.2.13 5. — 13. ΤΙΣ Η ΤΟΥ ΜΕΛΑΝΟΣ ΞΗΡΙΟΥ ΚΑΤΑΣΚΕΥΗ.

Suite du texte précédent (mêmes manuscrits).

Ἐπὶ χρώματος ἐβενίνου τὸ σποδίον οὐ πλύνεις, ἀλλ' ἑνώσας[1202] κατὰ λόγον τοῖς ὕδασι τοῖς λευκοῖς, ποιεῖς τὸ διὰ τῶν βολβίτων[1203] χριστήριον ἐν ἑβδομάσιν ἡμέραις δυσὶν ἢ τρισίν. Ἔνθεν ἔλεγεν Ζώσιμος οὕτως · μηδὲν κυρκανευθῇς, μελαίνειν γὰρ ἀντὶ τοῦ[1204] μελαίνεσθαι, καὶ πάλιν βάπτει μέλαν ἔλαττον ἄφευκτον.[1205]

✶
✶✶

1.2.14 5. — 14. ΤΙΣ Η ΤΗΣ ΚΟΜΑΡΕΩΣ ΣΥΝΘΕΣΙΣ.

Suite du texte précédent (mêmes manuscrits).

Ἡ κράσις τοῦ φαρμάκου σύνθεσιν ἔχει ἀπὸ στερεοῦ σώματος καὶ[1206] ὑγροῦ · τῇ γ° τοῦ στερεοῦ κομάρεως ὕδατος μιγνυμένης.[1207]

1202. ἐβαινίνου M ; ἐβεννίου BAK. Corr. conj.
1203. καταλόγον M. — F. del. ἑβδομάσιν.
1204. F. l. μελαίνει.
1205. βάπτειν BAK.
1206. A mg. ωρ (ὡραῖον) ὅλον, de 1re main.
1207. κωμάρεως M.

✶
✶✶

1.2.15 5. — 15. ΤΙΣ Η ΜΕΤΑ ΤΗΝ ΙΩΣΙΝ ΟΙΚΟΝΟΜΙΑ.

Suite du texte précédent (mêmes manuscrits).

Ἐξαιθριώσαι μετὰ τὴν ἴωσιν ἡμέρας ε΄ τὸ φάρμακον, κατὰ τὴν[1208] παραίνεσιν Ἴσιδος. Εἰ μὲν ξηρίον βούλει σκευάζειν, μῖξον ἀλλήλοις[1209] τὰ μόρια τοῦ συνθέματος, σεσηπός φημι καὶ τὸ ἄσηπτον, ὑγρὸν καὶ[1210] ξηρόν. Καὶ λειώσας ἐν ἡλίῳ ἢ σκιᾷ, κατάθου ἐν ἱππείᾳ. Εἰ δὲ ὑγρὸν ἐπείγῃ φάρμακον ἐκτελεῖν, μίξας ἄμφω τὰ ὕδατα, καὶ ἀσφαλισάμενος[1211] ἐν τοῖς ἄγγεσιν, ἀπόδος τῇ τῶν βολβίτων πυρίᾳ τρεῖς ἢ πέντε μόνον ἡμέρας, καὶ λειοτριβήσας, ἔχε τέλειον τὸ ξηρίον.[1212]

✶
✶✶

1208. F. l. ἐξαιθρίασαι.
1209. καὶ εἰ μὲν BAK.
1210. τὸ σεσηπὸς BAK, f. mel.
1211. ἐπείγει M.
1212. F. l. ἔχεις.

1.2.16 5. — 16. ΕΙ ΘΕΛΕΙΣ ΠΟΙΗΣΑΙ ΦΟΥΡΜΑΣ ΚΑΙ ΤΥΛΟΥΣ ΑΠΟ ΒΡΟΝΤΗΣΙΟΥ, ΠΟΙΕΙ ΟΥΤΩΣ. [1213]

Transcrit sur M, f. 128 v. (*manuscrit unique*).

1. Λαβὼν νόμισμα οἷον θέλεις, ἔπαρον τὸ ἐκτύπωμα αὐτοῦ διὰ τεαφίου τοῦ κοινοῦ τοῦ ἐψητοῦ · καὶ χρί- (f. 129 r.) σον ἐλάδιον τὸ [1214] νόμισμα · καὶ ἐπαίρεις τὴν ἀποτύπωσιν αὐτοῦ, μικρὰν δὲ πυρὰν θέλεις παρέχειν τῷ τεαφίῳ, ἵνα μὴ καῇ. Ἐὰν γάρ ἐστιν ἡ πυρὰ ἐλαφρή, καλῶς ἐκτυποῖ τὸ χάραγμα · εἰ δὲ καῇ τὸ θεῖον, οὐδὲν ἐκτυποῖ. Καὶ ὅτε θέλεις τυπῶσαι ἀπὸ τεαφίου, εἰ τῶν ἐνδεχομένων ἐστὶν, καὶ τὰ δύο τυπάρια ἄλλασσε τοῦ τεαφίου · καὶ πάνυ χρήσιμος ἐκβαίνει ἡ ἀποτύπωσις τοῦ ὁλοκοτίνου.

2. Ἡ δὲ ποίησις τῆς χώνης τῶν τυπαρίων ἐστὶν οὕτως. Ὅτε θέλεις χωνεῦσαι τυπάρια, φέρε στεφάνιον σιδηροῦν, καὶ βάλλε μέσα τοῦ στεφανίου γενάμενον · καὶ βάλλε τὸν ἀντίχειρα τῆς ἀριστερᾶς σου χειρὸς ἐπάνω τοῦ ἐκτυπώματος τοῦ ὁλοκοτίνου · καὶ φέρε κονίαν κοσκινισμένην, καὶ βάλλε κατὰ τῆς δεξιᾶς σου χειρὸς πέριξ τοῦ [1215] τυπαρίου, καταγγίζων αὐτὸ, τὸν δὲ ἀντίχειρά σου τὸν ἀριστερὸν ἀεὶ ἐπάνω ἔχων τοῦ ἐκτυπώματος, ἵνα μὴ ἐκ τῆς κονίας γεμισθῇ. Καὶ ὅτε ἐξισωθῇ ἡ στάκτη, καὶ γένηται ἰσόχειλος

1213. τόλους M.
1214. αἰλάδιον M. F. l. ἐλᾳδίῳ.
1215. κοσκισμένην M. — κατὰ] F. l. μετὰ.

τοῦ τυπαρίου, βλέπε, ἀποσπόγγισον[1216] καλῶς τὸ τυπάριον καὶ ἐκτρίχωσον. Καὶ ἀπὸ μαύρου κηρίου καλῶς σφράγισον ἅπαξ ἢ δίς. Καὶ ὅτε θεωρεῖς ὁλοκάθαρον τὸ τυπάριον[1217] τοῦ τεαφίου, φέρε ἀπὸ σηπίας ὀστέον ξηρόν · καὶ κόψον ἐξ αὐτοῦ πρὸς τὸ τυπάριον τοῦ ὁλοκοτίνου · καὶ καθάρισον μετὰ μαχαιρίου τὴν ὄψιν τοῦ ὀστέου τῆς σηπίας · τὸν δὲ νῶτον αὐτοῦ παρέασον οὕτως. Καὶ φέρε μάρμαρον, καὶ ἀκόνησον τὸ αὐ- (f. 129 v.) τὸ ὀστέον τοῦ σηπιδίου καλῶς. Καὶ βάλλε αὐτὸ ἐπάνω τοῦ τυπαρίου, κανονίζων ἐὰν καλῶς περιλαμβάνῃ τὸ τυπάριον καὶ τὴν κονίαν. Καὶ βαλὼν τὸν ἀντίχειρά σου, πῆξον κατὰ κολακείαν, ἵνα ἐκτυπώσῃς τὸ σηπίδιον εἰς τὸ τυπάριον. Καὶ τότε εὐφυῶς βάλλε ἐπάνω τοῦ σηπιδίου κονίαν. Καὶ βαλὼν τὰς δύο παλάμας τῶν χειρῶν σου, πῆξον δ΄ ἢ ε΄ ἐπάνω τῆς κονίας.[1218] Καὶ πάλιν γέμισον · καὶ πάλιν πῆξον · καὶ ὅτε γεμισθῇ καλῶς τὸ στεφάνιον, ἐκ τῆς κονίας πεπηλωμένον, κούφισον εὐφυῶς τὸ στεφάνιον σὺν τῷ τυπαρίῳ · καὶ μετὰ μαχαιρίου διαξύων τὸ κάθισμα τοῦ τυπαρίου,[1219] καὶ εὐφυῶς μετὰ τῶν δακτύλων σου ὑποσύρεις καὶ ἐκβάλλεις τὸ τυπάριον τοῦ στεφανίου, καὶ εἰς αὐτὴν τὴν ἀποτύπωσιν μεταβάλλεις τὸ αὐτὸ βροντήσιον · ψυχρὸν δὲ θέλεις μεταβιβλήσκεσθαι, καὶ οὐχὶ πυρίζον τὸ τυπάριον. Ἐὰν γὰρ ζεστὸν τὸ τυπάριόν ἐστιν, ἀναβράζει ὁ ἰος, καὶ οὐ διεξέρχεται εἰς τὸ τυπάριον.

1216. F. l. τῷ τυπαρίῳ.
1217. ἢ δίς] ἠδεῖς M.
1218. δ΄ ἢ ε΄] F. l. τετράκις ἢ πεντάκις.
1219. διεξύων M.

3. Ἡ δὲ συγκέρασις τοῦ βροντησίου ἐστὶν οὕτως · ἰοῦ κυπρίου λίτρα α′, κασσιτέρου καθαροῦ γ° β′. Ἡ δὲ χρώϊσις τοῦ χαράγματός[1220] ἐστιν οὕτως · χαλκάνθου γ° β′, χαλκίτου γ° α′, στυπτηρίας γ° β′, ὤχρας, ἅλατος γ° ζ′ · λειώσας καὶ κοσκινίσας, στίβασον δόμον[1221] πρὸς δόμον τὰ φάκια ὡς ἔστιν τὰ πέταλα τῶν χρυσοεψητῶν · καὶ σκεπάσας τὴν χύτραν, θὲς αὐτοματάριον καίεσθαι ὥρας γ′ · καὶ[1222] κατένεγκε καὶ ἔα ψυχρανθῆναι · καὶ ἀποσκεπάσας εὑρίσκεις (f. 130 r.) χρωϊσμένα τὰ φάκια · καὶ χαράξας αὐτὰ ψίχισον ψωμίῳ καθαρῷ · καὶ τρίψας τεάφιον κοινὸν, καὶ κοσκινίσας, βάλλε εἰς τὰς χεῖράς σου τὸ ἔλαιον, καὶ τρίβε τὰ τυφθέντα, καὶ ἀποτρέχουσιν.[1223]

✶
✶✶

1.2.17 5. — 17. ΔΙΑΦΟΡΑΙ ΜΟΛΙΒΔΟΥ ΚΑΙ ΧΡΥΣΟΠΕΤΑΛΟΥ.[1224]

Transcrit sur M, f. 130 r. — *Collationné sur* B, f. 177 r. ;— *sur* A, f. 157 v. ;— *sur* K (*copie de* A), f. 40 v.

1. Μόλιβδος θαλάσσης σκληρός ἐστιν καὶ ῥυπαρὸς,

1220. FIXME
1221. στύβασον M (peut-être pour στοίβασον).
1222. αὐτὸ ματάριον M.
1223. M mg. : Τρίβε précédé du signe correspondant (main du 15e siècle).
1224. Titre dans BAK : περὶ τῆς διαφορᾶς μολ. κ. χρυσοπ.

καὶ προσλαμβάνει[1225] εἰς τὴν σύγκρασιν, ἵνα μὴ ῥήγνυται, μολίβδου σαβυησίου λίτρας ν΄,[1226] καὶ κασσιτέρου ἄσπρου λίτραν α΄, καὶ ποιεῖ ἀπουσίαν εἰς τὰς ν΄ λίτρας[1227] λίτραν μίαν. Σαβυήσιος μόλιβδος καὶ δελματήσιος καθαρός ἐστιν, καὶ ἁπαλὸς,[1228] καὶ χωνευόμενος, καὶ μηδὲν λαμβάνων, ποιεῖ ἀπουσίαν εἰς[1229] λίτρας δέκα λίτραν μίαν, καὶ κασσιτέρου ὅσον ἀπαιτεῖ. Σαρδιανὸς μόλιβδος ἁπαλός ἐστιν, καὶ ἔγχαλκος, καὶ ῥήγνυται εἰς τὴν ἀπόχυσιν τῶν χαλκῶν ἤτοι κατασκευήν, διὰ τὸ εἶναι αὐτὸν ἔγχαλκον · καὶ ἐν[1230] ἡμέρᾳ α΄ χώνευε.[1231]

2. Καὶ εἰς λόγον ἀπουσίας χαλκοῦ, ἀργύρου μέρη ε΄, τουτέστιν εἰς[1232] ἓν ἔργον λίτρας ρ΄ προσχώνευσαι χαλκοῦ, ἀργύρου λίτραν. Καὶ εἰς ἐργασίαν τοῦ αὐτοῦ εἰς λίτραν α΄, κάρβωνας μόδιον α΄ ἔργον λίτρας σ΄ · μετὰ δὲ ἀπουσίας λίτρας ρξΣΤ΄, κηροῦ λίτρας κ΄, κασσιτέρου λίτρας κ΄, γύψου λίτρας ρκ΄ · Χ · Χ ·, ξύλων καυσίμων ἁμάξιον α΄ β΄, κάρβωνος,[1233] χαλκίτου μόδια ξζ΄, στομώματος λίτρας κ΄, ἐλαίου

1225. μόλυβδος θαλάσσης] Cp. ci-dessus, p. 37, l. 1, notes. — F. l. προσλάμβανε.
1226. F. l. ῥηγνύηται.
1227. F. l. ποίει ἐπουσίαν ? — καὶ ποιεῖ — λίτραν μίαν om. K.
1228. σαβιήσιος BAK. (Synonyme de σαβαϊτικός ?). — δερματήσιος mss. Ce passage est cité dans le Thesaurus grec, éd. Didot (v. σαβιήσιος) d'après Du Cange, avec cette traduction : « Plumbum sabinum et dalmaticum ? »
1229. F. l. ἐπουσίαν ?
1230. Après ἔγχαλκον] εἶναι en signe, mss.
1231. χώνευε] χε΄ mss.
1232. F. l. ἐπουσίας.
1233. ρκ΄] ρη΄ BAK. — α΄ β΄] ακι B ; αυι A ; υι K. — χαλκικοῦ] χαλκοῦ AK.

ἐν ταῖς φούρμαις[1234] λίτρας δ′. Τεχνῖται εἰς πλάσιν, καὶ ὤχραν καὶ ῥινὴν καὶ ἁρπακτῆριν[1235] ἁρμόζει. Καὶ μ′ ἐργάται φυσηλάται χρυσολιθάριον, καὶ ἀργυρολιθάριον[1236] ἐργάζονται ἐν ἡμέρᾳ α′ (f. 130 v.) ὡς λίτρας ε′.[1237]

3. Καὶ προσχωρεῖ εἰς πήχεις ρ′ N° Δ ὑελουργικὴν, ποιοῦσιν τετράγωνον μ′,[1238] μῆκος δακτύλων κ′, καὶ ἡ ἀπουσία τοῦ ὑέλου μέρη κ′, καὶ προσχωρεῖ[1239] εἰς ἕκαστον πέταλον πέταλα ι′ ἀργύρου, ποιεῖ δὲ τὸ κεντηνάριον κ′,[1240] ποιοῦντος τοῦ τεχνίτου ἡμερούσιον πέταλα β′ γίνονται τοῦ N° μ′.[1241] Ἐπὶ χρυσολίθου N° α′ πηχῶν ζ′, μίξεως μύσεως, κασσιτέρου[1242] παλαιοῦ, ἀρτεμισίας ἰνδικῆς.[1243]

4. Πηχῶν ω′, μετὰ τοῦ ἀργυρολίθου ποιεῖ ὁ τεχνίτης καθὼς ἐν[1244] τῷ χρυσολίθῳ. Καὶ προσχωρεῖ ὑελουχρῖ, καὶ ἀπουσίας μέρη δ′,[1245] ὡς εἶναι καθαρὰς λίτρας ρ′, ξύλον καύ-

1234. μόδια ξΣΤ′ BAK. — λίτρας η′ BAK. — φύρμαις BAK.
1235. ὤχραν] F. l. χώνην (confusion de signes ?). — F. l. ἁρμόζουσι.
1236. χρυσοκολιθάριον BAK.
1237. ἐν ἡμ. α′] ἐν ἡμέραις (signe unique) η′ BAK.
1238. N°] F. l. νόμισμα. — Δ] signe à lire τέσσαρα (νομίσματα τέσσαρα), ou λευκὸν (νόμισμα λευκὸν), ou διὰ (διὰ ὑελουργικὴν < τέχνην, > *au moyen d'un procédé de verrier*). — εἰς πήχεις ρνδ′C″ ὑαλουργ. BAK. — F. l. τετράγωνα.
1239. δακτ. κ′] δακτ. η′ BAK. — ὑάλου BAK.
1240. ἕκαστον om. BAK. πέταλον] F. l. τετράγωνον. Même signe pour les deux mots dans nos mss. ; seulement πέταλα dans M (πέταλον BAK) est en toutes lettres. — κεντινάριον M.
1241. κ′] η′ BAK. — N°] F. l. νομίσματος.
1242. ζ′ — πηχῶν (l. 12) om. AK.
1243. ἀρτεμησίας M.
1244. ω′] κ ou *u* (= β′) B ; κ′ AK. Les mots ἀργυρολίθου — χρυσολίθῳ soulignés dans B.
1245. ὑελουχρῖ] ὑελ′ λίτρ. (en signe) ρι′ BAK. (Confusion probable du χ

σιμον ἀμαξεία ,ασ′, ἀργύρου εἰς[1246] περιαργύρωσιν γράμματα κβ′. Χρυσωτὴς εἰς χρύσωσιν ἐν μὲν ὁλοχρύσῳ[1247] ἐν ἡμέρᾳ α′, πέταλα ρν′ · ἐν δὲ χρυσογραφίᾳ, ἡμερούσιον πέταλα ν′,[1248] ἐν δὲ ἀκροχρύσῳ πέταλα ρ′. Χρυσώσει δὲ τὸ ὁλόχρυσον πηχῶν πέταλα μβ′ · τῶν δὲ διατρήτων πηχῶν πέταλα ιΣΤ γ′ · καὶ προσχωρεῖ εἰς[1249] πᾶσαν πεταλουργίαν τὸ αὐτὸ πέταλον εἰς λίτρας θείου θ′ ἐν νομίσμασιν[1250] οβ′ εὔρυζον, χαλκοῦ κυπρίου ψυχρηλάτου λίτρας γ′, ἐλαίου ξε,[1251] καρβούνων μόδια κε′. Τεχνῖται πεταλουργοί, θεῖον λίτραν α′. αρ ... κ′,[1252] σινώπιδος λίτρας ι′.[1253]

5. Ποιεῖ δὲ ἡ λίτρα τοῦ χρυσοῦ διάφορα οὕτως. Φούρμας β′ ἀρ ,αφ′ · φούρμας[1254] δύο ,β · φούρμας γ′ ,βσν′ · φούρμας δ′, ,βφ′ · φούρμας ε′, ,γ′ · φούρμας ΣΤ′ ... φούρμας ζ′ ,ε′ · φούρμας η′ ,ΣΤ′ · φούρμας θ′ ,ζ′ · φούρμας[1255] ι′ ,η′ · φούρμας ια′ ,θ′ · φούρμας ιβ′ ... Λαμβάνει δὲ ὁ πεταλουργὸς ἤτοι χρυσηλάτης σὺν τῆς ὕλης, καὶ τὰ ὑποχωροῦντα εἰς τὴν

avec le signe de λίτρα.) — F. l. ἐπουσίας.

1246. ἀμαξία M ; om. BAK. — ασ′] F. l. α′C″.

1247. χρυσῶ τῆς M.

1248. ἐν ἡμέρᾳ] ἐν signe de l'or AK. — α′] signe de l'argent BAK.

1249. διατρίτων mss. — ιστ γ′] ι′ καὶ γ′ BAK.

1250. εἰς λίτραν (en signe) signe de l'or ἐν νομίσμασιν mss. F. l. εἰς λίτρας < θείου > θ′ (*M. B.*). — (Confusion probable du signe de l'or avec le chiffre θ′.)

1251. εὐρόϊζον B ; εὔριζον A ; εὔριζον K. F. l. ὄβρυζον. — ξε (sigle de ξέστης)] ξε′ M.

1252. αρ] signe inconnu. F. l. ἀρσένικον.

1253. ι′] θ′ BAK.

1254. φούρμας β′] F. l. φούρμαν α′. — ἀρ] abréviation de ἀριθμοῦ ?

1255. φούρμας στ′ ,ε BAK, qui om. φ. ζ′ ,ε.

ἔψησιν[1256] τοῦ χρυσίου, καὶ τὸν ἐκπεταλισμὸν καθ' ἑκάστην λίτραν[1257] (f. 131 r.) τοῦ χρυσίου N° N° ΣΤ′, ὡς κατατρέχει εἰς τὸ N° κεράτια δύο. Καὶ ὁ χρυσωτὴς[1258] ὑπὲρ τῆς χρυσώσεως μόνης καθ' ἑκάστην λίτραν N° N° γ′, ὡς κατατρέχει τῷ χρυσίνῳ κεράτιον α′. Καὶ ὑπὲρ ἐν πενδίον τῶν προχωρούντων[1259] εἰς ὑπόχρησιν ἤτοι ὑποσκευὴν χρυσώσεως, καθ' ἑκάστην λίτραν[1260] ἐπέμικτο ἀνδριουσῶν N° N° γ′, ἐπὶ ξυλικῶν · < ἐπὶ > λιθικῶν N° N° β′.[1261]

6. Εἰ δὲ αὐτόδιον ὁ χρυσωτὴς ἐργάζεται, καὶ ποιήσει καθὼς[1262] ἐλογίσθη ἐν πολλαῖς λογοθεσίαις · εἰ μὲν διὰ τῶν μικρῶν πετάλων τοῦ N° πηχῶν γ′ · εἰ δὲ διὰ τῶν μειζόνων, καθὼς τὸ ἐξάγιον ἐγένετο ἐν[1263] τῷ διατρήτῳ τῷ ξύστρῳ τῶν καλούντων εἰς τὸ ἀπόγωνον εὐκτήριον[1264] τῆς ἁγίας Μαρίας παρὰ Μάρωνος παλάτιον [Μαρίας παλάτιν] · ο της[1265] μασης τὸ N° πῆχυν α′ S · εἰ δὲ τῶν μειζόνων καθὼς γέγονεν ἐν τῷ κιβωρίῳ καὶ ἐν τοῖς χαλκοῖς κίοσιν, γύψου γ° ΣΤ′, ταυροκόλλης γ° δ′, ἰχθυοκόλλης γ° α′, μίλτου γ° α′,

1256. σὺν pour μετὰ ; om. BAK.
1257. καθ' ἑκ. λίτραν om. BAK.
1258. Après εἰς τὸ, le copiste du ms. A a écrit puis biffé et surpointillé cette note : πρωτότυπον οὕτως ἦχε (lire εἶχε) τὸ σημεῖον.
1259. ἐν πεδίου τῶν BAK.
1260. ἤτοι] εἴτοι M. — εἰς ὑποσκ. BAK.
1261. ἐπιμικτο (sic) M ; ἐπὶ μικτο BAK. — N° N°] F. l. νομίσματα. — λιθικῶν om. BAK.
1262. αὐτοδιον M. — χρυσωτῆς M. — ἐργάζεται] ση sur ξε M.
1263. ἐξάγιον en toutes lettres M ; στ^{ϒ} B ; στ^{ϒ} AK.
1264. διατρίτον ξύστρον M.
1265. παλάτιν om. BAK, qui continuent ainsi : ὁ τύνος πῆχυν α′S, omettant της μασης. — εἰ δὲ] ἐν δὲ BAK.

σινώπιδος γ° S′, κόμεως, σαβανικαν[1266] ψαρικὰ οθ′, ξύλον εἰς καύσιμον ἅμαξαν λίτρας ασ′, σοφιγυ ἀρ δ′.[1267]

✶
✶✶

1.2.18 5. — 18. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΤΥΡΟΚΟΛΛΑΝ < K. T. E. >

Transcrit sur A, f. 7 r. — *Les variantes insérées dans ce texte et dans le suivant sont des corrections conjecturales.*

1. Λαβὼν τυρὸν παλαιὸν, καὶ τρίψον εἰς τυροτρίπτην · εἶτα βαλὼν[1268] ὕδωρ, καὶ ἔα σταθῆναι μέχρι ἡμέρας γ′ · εἶτα ἔξελε, καὶ ἄλλαξον τὸ ὕδωρ · εἶτα βαλὼν εἰς χύτραν ἀνάλειπτον, καὶ βράσον ἕως οὗ διαλυθῇ[1269] καὶ μείνῃ παχὺ τοῦ τυροῦ ἐν τῷ ὕδατι τῷ θερμῷ. Εἶτα βαλὼν τὸ αὐτὸ[1270] τυρὶν εἰς ἕτερον χλιαρὸν ὕδωρ, καὶ ἀς ἀπαλύνῃ, βράσον ἕως οὗ γένηται κόλλα. Εἶτα ἔχε ἄσβεστον ζωντανὸν ἕως τέσσαρας μοίρας, ἔνωσον ὁμοῦ καλῶς μετὰ τὴν κόλλαν, καὶ κόλλα εἴ τι δ’ ἂν θέλῃς, καὶ ἔα σταθῆναι[1271] δεμένον ἕως ἡμέρας ΣΤ′.

1266. κόμεως om. BAK. — σαβανικα BAK.
1267. σοφυγι BAK.
1268. τύρον A.
1269. ἀνάλυπτον A.
1270. μήνι A.
1271. ἤ τι] A. F. l. ὅ τι.

2. Τὸν αὐτὸν τρόπον ποίει καὶ τὴν δερματόκολλαν. Βράσον ἕως οὗ λυθῶσιν τὰ δερμάτια καλῶς εἰς τὴν βράσιν, καὶ σείρωσον. Εἶτα ἔασον [1272] ψυχρανθῆναι καὶ ξηρανθῆναι · καὶ τότε ἀνάλυε, καὶ κόλλα.

3. Σύντριψον τὰ ἐλαφοκέρατα, καὶ ἔκβαλον τὴν ψίχα, τὰ δὲ ἄσπρα, [1273] εἰ δύνατον, ῥίνισον, καὶ βάλλε μοσκέβην ὕδωρ ἕως ἡμέρας ι′ · καὶ [1274] βράσον εἰς λέβητα καλῶς, ἕως οὗ ἐκβῇ ἡ οὐσία · καὶ τότε [1275] (f. 7 v.) σείρωσον καὶ ξήρανον · καὶ τότε μῖξον β′ μέρη ἀσβέστου, καὶ α′ τῆς [1276] κόλλας, καὶ κόλλα. Ἡ δὲ μή γε κολλ′ καὶ οὕτως. [1277]

✳

✳✳

1.2.19 5. — 19. ΠΕΡΙ ΤΟΥ ΠΟΙΗΣΑΙ ΟΞΥΓΓΟΣΑΠΟΥΝΟΝ.

Transcrit sur A, f. 7 v.

Βαλὼν λίτρας ὅσας θέλεις ἀξούγγιν λυομιμένον (?), λεανῶ ψιλὸν εἰς [1278] λέβητα · ἔχε δὲ καὶ στάκτην ἀπὸ πτελέαν · καὶ βαλὼν εἰς ἀγγεῖα πολλὰ, καὶ βαλὼν ὕδωρ εἰς τὰ

1272. λυθῶσιν] λυωθῶσιν A. — σύρωσον A.
1273. ψύχαν A.
1274. εἰ] ἢ A. — F. l. μοσκεύειν.
1275. λέβηταν A.
1276. σύροσον A. — ἄσβεστον A.
1277. F. l. Εἰ δὲ μή γε — κόλλα, καὶ οὕτως < πάλιν ποίησον. > — F. l. λέανον.
1278. λύτρας A. — ὑψηλὸν A.

ἀγγεῖα, καὶ ἀς εἶναι τρυπήμενα εἰς τὸν πάτον ὅλα καὶ στρωμένα μικρὸν ῥάκος εἰς τὰς τρύπας, διὰ < να > μηδὲν κατεβένῃ ἡ στάκτη. Καὶ ἔχε ἀποκάτωθεν τῶν σταμνίων ἀγγεῖα ἄλλα, διὰ να δέχωνται τὰ ὕδατα. Καὶ τὸ πρῶτον καταστάλαγμα βάνε εἰς τὸν λέβητα · καὶ αὐτὸ τὸ πρῶτον ὕδωρ τῆς στάκτης λέγεται πρωτεῖον τοῦ σάπωνος,[1279] καὶ τὸεύδ τερον ὕδωρ τῆς στάκτης ἔνει ἀδυνατώτερον. Καὶ λέγωνται τὰ γ′ γεμίσματα τοῦ σάπωνος.

✶

✶✶

1.2.20 5. — 20. Les Mois.

Transcrit sur A, f. 240 v. — *Écriture contemporaine du ms., probablement celle du copiste lui-même, mais encre plus noire et caractères plus fins. Article ajouté après coup dans un espace resté blanc entre nos morceaux* 4, 4 *et* 5, 24. — *Nous ajoutons les noms des constellations zodiacales en regard des signes.*

῾Ο μόλυβδος φύσει ἐστὶ ψυχρὸς καὶ ξηρὸς ἡμέρας ζ′. ῾Υδράργυρος φύσει εὔκρατος ἡμέρας ιε′.

1279. Après τὸ πρῶτον ὕδωρ, les mots τῆς στάκτης ἔνει ἀδυνατότερον écrits par mégarde dans A, sont biffés à l'encre rouge. Nous en retenons τῆς στάκτης.

κριός ...	♈	< μὴν > θερμὸς καὶ ὑγρός.
ταῦρος ...	♉	θερμὸς καὶ ὑγρός. [1280]
δίδυμοι ...	♊	θερμὸς καὶ ὑγρός.
καρκῖνος ...	♋	θερμὸς καὶ ξηρός.
λέων ...	♌	θερμὸς καὶ ξηρός.
παρθένος ...	♍	θερμὸς καὶ ξηρός.
ζυγά ...	♎	ξηρὸς καὶ ὑγρός.
σκωρπίος ...	♏	ξηρὸς καὶ ψυχρός.
τοξότης ...	♐	ξηρὸς καὶ ψυχρός.
αἰγόκερως ...	♑	ψυχρὸς καὶ ὑγρός.
ὑδροχόος ...	♒	ψυχρὸς καὶ ὑγρός.
ἰχθύες ...	♓	ψυχροὶ καὶ ὑγροί.

Σοὶ τῷ φιλολόγῳ βασιλεῖ, τῷ γνησίῳ, τῷ μηδὲν ἔκφυλον ἢ νόθον [1281] κεκτημένῳ, οἱ σοῦ θεράποντες ταύτην τὴν πραγματείαν ἐπιλελύκαμεν. Δέχοιο τοίνυν εὐσεβῶς, ὦ δέσποτα · καὶ εἰ μικρὸν, ἀλλ' ἔχει τι χρήσιμον. [1282]

✶

✶✶

1.2.21 5. — 21. ΧΡΥΣΟΥ ΠΟΙΗΣΙΣ.

Transcrit sur A, f. 232 r. ;— *Collationné sur* E (*partie écrite par le copiste de* La, b, c), f. 216 v. ;— *sur* Lc, p. 397.

1280. Les signes du Taureau, de la Vierge, du Scorpion et du Capricorne sont un peu différents dans le ms. — Mêmes différences dans Nicéphore Blemmide (6e partie).
1281. ἔκφιλον A. — νόθω A.
1282. δέχοιο] δεχ τῖη ὁ A. — εὐσευῶς.

1. Λαβὼν χαλκὸν τὸν φυσικὸν, χώνευσον ἑπτάκις, καὶ ἐν ἑκάστῃ χωνεύσει βάλε καὶ ταῦτα · ἐν τῇ πρώτῃ χωνεύσει, λελυμένον τάρταρον[1283] ὅσον θέλεις · θὲς εἰς τὸν χαλκὸν τὸν λελυμένον · εἰς τὴν δευτέραν πάλιν[1284] χώνευσιν, θὲς στυπτηρίαν τετριμμένην ὡς κονιορτόν · εἰς τὴν τρίτην[1285] χώνευσιν, τετριμμένον ἅλας ἀμμωνιακόν · εἰς τὴν τετάρτην χώνευσιν,[1286] νίτρον τετριμμένον · εἰς τὴν πέμπτην χώνευσιν, ὁμοίως ἀρσενίκην[1287] τετριμμένον · εἰς τὴν ἕκτην χώνευσιν, ἀφροσέληνον · ὁμοίως εἰς τὴν[1288] ἑβδόμην χώνευσιν, τούτιαν τῆς Σπανίας πράσινον προτετριμμένην μετὰ[1289] οὔρου ἀφθόρου καὶ ποτισμένην ἐν ἡλίῳ καὶ γενομένην ξηρίον, καὶ < θέλεις > ἰδεῖν, Θεοῦ θέλοντος, χρυσόν. Φησὶν ἡ Μαρία · « Καὶ βάψεις ἑπτάκις, εὕρεις

1283. λελυμένον — λελυμένον] Réd. de E Lc : λείωσον τάρταρον, καὶ βάλε εἰς τὸ χαλκὸν τὸν λελ.

1284. λελυμένον] F. l. κεχυμένον. — ἐν δὲ τῇ δευτέρᾳ (χωνεύσει omis), et ainsi de suite E Lc.

1285. θὲς] βάλε E Lc. — στ. λελυμένην E Lc. — ὡς κον. om. E Lc.

1286. τετριμμένον om. E Lc.

1287. νίτρον τετρ.] ἀρσένικον E Lc. — ὁμοίως ἀρσενίκην] νίτρον E Lc.

1288. ἀφροσέλινον] ἀφροσέληνον *le talc* E ; ἀφροσέληνον ἤγουν τὸ τάλκον περσιστί Lc.

1289. τουτίαν (τῆς Lc seul) Ἀλεξανδρείας ἢ Ἰσπανίας E Lc. — πράσινον προτετριμμένην om. E Lc, qui continuent ainsi : ἐν δὲ τῇ ὀγδόῃ εἰ βούλει, βάλε καὶ ψιμμύθιον · ταῦτα δὲ πάντα τὰ ἅλατα διοργάνιζε διὰ τοῦ ἄμβικος ἑπτάκις ἢ καὶ ὀγδοάκις μετὰ οὔρου ἀφθόρου · καὶ τοῦτο τὸ ὕδωρ λέγεται ὄξος θεῖον καὶ ὕδωρ θείου ἀθίκτου, καὶ διὰ τούτου ποιεῖται ὁ ἡμέτερος λίθος · καὶ ταῦτά φησιν ἡ Μαρία. Suite et fin du morceau dans E : τὸ δὲ βάρος νόει ὡς ὁ ὁρκός. Dans Lc : Περὶ τοῦ βάρους τῆς ἐπιβολῆς · ἐν τῇ πρώτῃ ἐργασίᾳ ἐπιβάλλεται ἓν βάρος εἰς ἓν βάρος, ἐν δὲ τῇ δευτέρᾳ, ἓν βάρος εἰς χίλια βάρη · ἐν δὲ τρίτῃ, ἓν βάρος εἰς χιλίων χιλιάδων βάρη. — Τέλος.

παράδοξα.[1290] »

2. Τὸ τάρταρον, καὶ τὸ ἅλας τὸ ἀμμωνιακὸν, καὶ ἡ στυπτηρία, καὶ τὸ νίτρον, καὶ τὸ ψιμίθιον, καὶ ἡ τούτια, καὶ τὸ ἀρσενίκην, καὶ τὸ ἀφροσέληνον, καὶ ἡ μαγνησία τῶν ὑελίνων, μετὰ οὔρου ἀναβαστῶσι καὶ ἑπτάκις λειωθοῦν · βάπτουσιν τὸν χαλκὸν, < καὶ > ἄργυρον φανῆναι ποιεῖ. Καὶ τοῦτο λέγεται ὄξος ἡμέτερος, τουτέστι ὄξος χαλκοῦ.

✶

✶✶

1.2.22 5. — 22. ΣΚΕΥΑΣΙΑ ΑΦΡΟΝΙΤΡΟΥ ΤΟΥ ΖΗΤΟΥΜΕΝΟΥ ΕΙΣ ΤΑΣ ΚΟΛΛΗΣΕΙΣ ΧΡΥΣΟΥ ΚΑΙ ΑΡΓΥΡΟΥ ΚΑΙ ΧΑΛΚΟΥ.

Transcrit sur A, f. 232 r. — *Les variantes insérées dans ce texte et dans les suivants* (5, 23-32) *sont des corrections conjecturales.*

< Λαβὼν > νίτρου αἰγυπτίου λίτραν α΄, σάπωνος ἐξ ὀξουγγίου ἄνευ ἀσβέστου λίτραν α΄, κόψον καλῶς καὶ μῖξον, καὶ μετὰ αὐτῶν θὲς αὐτὸ,[1291] εἴτε εἰς τὸν ἥλιον, εἴτε εἰς τόπον θερμὸν, καὶ ἔστι τέλειον εἰς τὸ κολλῆσαι χρυσόν.

✶

✶✶

1290. F. l. καὶ βάψας ἐ. εὔροις.
1291. μετὰ αὐτῶ θὲς αὐτῶ A.

1.2.23 5. — 23. ΚΙΝΝΑΒΑΡΕΩΣ ΣΚΕΥΑΣΙΑ.

Transcrit sur A, f. 232 r.

1. < Λαβὼν > ὑδραργύρου μέρη β′, καὶ θείου ζῶντος λελειωμένου[1292] ... οὔρου καθαροῦ μέρος α′, καὶ λαβὼν βικίον καθαρὸν δυνατὸν, καὶ ἄνευ[1293] καπνοῦ τῶν δυνάμεων βαστάσαι τὴν πυρὰν, βάλε τὴν σκευὴν εἰς αὐτὸ[1294] · μή γέμει δὲ, (f. 232 v.) ἀλλὰ μᾶλλον ἵνα ἐστὶ κενὸν ὅσον δάκτυλα β′ ἢ γ′, καὶ ἀνάμιξον πάντα, καὶ ποίησον καμίνιον οἷον τοῦ ὑελοφοῦ. Ἔστω δὲ τοιοῦτον βικίον εὐρύχωρον · καὶ ἄφες τόπον ὅσον θέλεις εἰσελθεῖν τὸ βικίον, καὶ χώρισον κάλαμον · καὶ μετὰ ταῦτα ἄναψον τὸ[1295] καμίνιον. Ἔασον δὲ καὶ ἑτέραν θυριδίτζαν μικρὰν ὅθεν μέλλει εἰσελθεῖν[1296] τοῦ πυρὸς λάβρα κύκλωθεν. Τὸ δὲ σημεῖον τῆς ἐψήσεως τοιοῦτόν ἐστι · τήρησον τὸ κένωμα τοῦ βικίου, καὶ ἐὰν ἴδῃς ἐξερχόμενον καπνὸν ὡσεὶ πορφύρας σχῆμα ἔχοντα, καὶ τὴν θερμότητα κιννναβαρίζουσαν, ἰδοὺ[1297] γέγονεν. Κατάλειπε πλέον τοῦ ἐκκαίειν τὸ ὑέλιον · εἰ γὰρ τούτου γενομένου[1298] πλέον ἐθέλεις ἐκκαῦσαι, ῥήγνυται τὸ ὑέλιον.[1299]

2. Ὑδράργυρον βράσον μετὰ ῥεφανίνῳ ἐλαίῳ θείῳ τε, καὶ

1292. Le nombre de parties du soufre est omis.
1293. βυκίον A, ici et partout.
1294. δυνάμεων] F. l. δυναμένων.
1295. F. l. καλάμῳ.
1296. μέλη A.
1297. πορφύραν A. — F. l. τῇ θερμότητι.
1298. κατέλειπε A.
1299. ἐθέλη A.

καυστὸν[1300] ἀρσένικον ἐν ἀγγείῳ ὑελίνῳ ἐπὶ ἡμέρας γ΄, τῇ δὲ δῃ ἡμέρᾳ ἔασον ψυγῆναι. Καὶ ἔστω πάλιν ὑδράργυρος μετὰ ὄξους δριμυτάτου · καὶ λαβὼν θείου τὸ ἥμισυ κατὰ σταθμὸν τοῦ ἀργύρου, καὶ μίξας αὐτὰ ὁμοῦ[1301] ἐν νίτρῳ, καὶ τρίψον αὐτὴν εἰς ἰγδὴν, καὶ γενήσεται ξανθή. Καὶ βαλὼν αὐτὴν εἰς ἄγγος ὄξος δριμύτατον, καὶ φιμώσας καλῶς ἵνα μὴ διαπνεύσῃ, καὶ ἔασον ἡμέρας ε΄ · τῇ δὲ ΣΤῃ ἡμέρᾳ εὑρήσεις τὸ μυστήριον. Γλύκιζε αὐτὴν, καὶ ξηράνας αὐτὴν ἐν ἡλίῳ, καὶ ἔχε τὸ μυστήριον.

3. Σὺν Θεῷ, λαβὼν ὠὰ, κλάσας αὐτὰ, καὶ χώρισον τὰ πυρρὰ, καὶ τὰ[1302] λευκὰ ταῦτα παρίδε · καὶ θέσον εἰς ἄμβικον, καὶ ἔασον ἡμέρας η΄ ἢ ζ΄ · καὶ[1303] κάθελε ἀπ' αὐτοῦ τὸ ὕδωρ · τὸ δὲ σωματούμενον καῦσον μέχρι γίνεται ἡ ἄσβεστος, καὶ ἔχε ταύτην ἀκριβῶς πεφυλαγμένην. Αὐτὴ λέγεται ἄσβεστος γέοδρα (?).

✶

✶✶

1.2.24 5. — 24. Pratique de l'Empereur Justinien.

Transcrit sur A, f. 240 v.

1300. μετὰ pour σὺν. — θείῳ τε] signe du soufre puis : τάτω.
1301. ἀργύρου en signe. F. l. ὑδραργύρου (signe à retourner).
1302. πυρὰ A.
1303. ἄμβυκον A.

1. Λαβὼν ὄστρακα ὠῶν, ἐν θυείᾳ λείωσον, καὶ σείρωσον · πλῦνον[1304] πολλάκις, καὶ πάλιν πλῦνον μετὰ νίτρου καὶ ὕδατος · καὶ γλύκαινε[1305] αὐτὰ μετὰ ὕδατος καὶ ὄξους κοινοῦ ἕως οὗ γένηται τὸ σύνθεμα λευκὸν ὡς ψιμμίθιον μολίβδου, καὶ ψύξας, ἔχε. Καὶ λαβὼν ἐξ αὐτοῦ τοῦ ὀστράκου λευκοῦ γεγονότος γ° β′, καὶ λευκὰ ὠῶν γ° ΣΤ′, λείωσον ὁμοῦ · ἀνένεγκε τοῦτο τὰ ὕδατα δι' ἄμβικος · τὴν οὖν σκουρίαν φύλαττε παρὰ[1306] μίαν. Ἐν τούτοις τοῖς ὕδασιν βάλλε ὄστρακα πεπλυμένα σκληρὰ, ἤγουν ξηρά · καὶ ἀπόστυφε αὐτά · καὶ ἀποσείρωσον ἀπὸ τῶν πετάλων,[1307] καὶ ἔχε ἐν ἑτοίμῳ πρὸς τὸ λευκάναι τὸ σύνθεμα. Καὶ λαβὼν τὴν ἄνω σκουρίαν τὴν ἐν τοῖς ὕδασιν λειωθεῖσαν καὶ λευκανθεῖσαν, πρινὴ τὸ ὕδωρ ἀνενεχθῆναι, τουτέστιν τὰς γ° β′, < τήρησον > ὅπου τὸ σημεῖον τοῦ δευτέρου. Βαλὼν τὴν σκουρίαν εἰς ὀστράκινον ἢ ὑέλινον ἄγγος, φιμώσας, ὅπτα διὰ κηροτακίδος φωσικοῖς ἱεροῖς πάνυ, (f. 241 r.) ἡμέραν α′, ἄχρις[1308] οὗ ὀσμὴν οὐκ ἔχῃ καὶ γίνηται λευκόν · ἀνελόμενος, λύε ἐν θυείᾳ ἐν[1309] ἡλίῳ · ἐπίβαλλε ἐκ τοῦ ἀνωτέρου ὕδατος καὶ ποίησον γλοιοῦ πάχος[1310] ἡμέραν α′ · καὶ ξηρά-

1304. θυΐα A. — σύρωσον A, ici et partout.
1305. γλύκενε A. F. l. λεύκαινε.
1306. F. l. τούτῳ. — παραμίαν A, f. mel.
1307. ἀπὸ] F. l. ἐπὶ. — πετάλλων A. F. l. λευκῶν. Confusion possible du signe de λευκῶν lu πετάλων sur un ms. antérieur.
1308. φωσικοῖς ἱεροῖς. — F. l. φωσὶ καρτεροῖς. Jusqu'au 11e siècle, le signe tachygraphique de οις et celui de αρ sont presque semblables. — Même correction proposée ci-après, l. 15. Cette variante, à elle seule, suffirait pour démontrer l'ancienneté du morceau publié ici.
1309. ἔχει καὶ γίνεται A.
1310. γλυοῦ A, ici et plus loin.

νας ἐν ἡλίῳ, καὶ ἀνελόμενος, ὅπτα τῇ κηρωτακίδι[1311] κατὰ τὴν ἄνω τάξιν φωσικοῖς ἱεροῖς πάνυ ἡμέραν α΄ · καὶ πάλιν ἀνελόμενος, λύε αὐτὸ μετὰ ὕδατος, καὶ ποιῶν γλοιοῦ πάχος ἡμέραν α΄ ἐν ἡλίῳ, καὶ ξήρανε ἐν ἡλίῳ, καὶ ὅπτα τοῦτο · καὶ ποίει πολλάκις, ἕως ἴδῃς τὸ σύνθεμα λευκὸν ὡς ψιμμίθιον.

2. Καὶ μετὰ ταῦτα ξάνθωσον οὕτως. Ἀνενέγκας τὸ ὕδωρ κατὰ τὴν[1312] ἄνω τάξιν, οὐκέτι στύφεις αὐτὸ εἰς πέταλα ὠῶν, ἀλλ' ἐπιβάλλεις αὐτὸ[1313] ἐν ἐνὶ ξέστῃ ξανθὰ ὠῶν ι΄ · καὶ συναναμίξας αὐτὰ εἰς τὸ ὕδωρ, ἔχε ὕδατα ξανθά, τούτοις δὲ τοῖς ὕδασιν λύε τὸ σύνθεμα ὡς γλοιοῦ πάχος ἡμέραν α΄ · καὶ ξηράνας ἐν ἡλίῳ, καῦσον, καὶ πάντα ποίει κατὰ τὴν ἄνω τάξιν, πλήρης ἕως οὗ ἴδῃς τὸ σύνθεμα ξανθὸν γενόμενον ὡς χρυσόν[1314] · καὶ βαλὼν αὐτὸ τὸ σύνθεμα εἰς φιάλην, ἔασον ἄπωμον · καὶ βαλὼν εἰς ἄγγος ὄξος δριμύτατον κοινὸν, βάλε κατὰ τὴν φιάλην τοῦ συνθέματος,[1315] καὶ ἀς ἐπιπλέει τῷ ὄξει · καὶ περιφιμώσας τὸ ἄγγος τοῦ ὄξους, εἶτα κατασκεπάσας ὁμοῦ ἡμέρας μα΄, καὶ ἀνελόμενος τὸ σύνθεμα, βάλε εἰς θυείαν, καὶ ἐπίβαλε ὕδατα ξανθὰ, καὶ ποίει γλοιοῦ πάχος · καὶ ψύξας ἐν ἡλίῳ, ἔχε πλήρης.[1316]

3. Τοσοῦτον κατασκευασθῆναι θέλει διὰ σήψεως καὶ

1311. κηρωτακίδος A.
1312. ἀνενέγγας A.
1313. πέταλα] F. l. λευκὰ (voir ci-dessus, l. 6). — ἐπιβ. αὐτὸ] F. l. ἐπιβ. αὐτῷ.
1314. πλήροις A.
1315. φυάλην A. ici et partout.
1316. πλήροις.

ἐψήσεως, τῆς ἀσήμου παραθέρμης καὶ λειώσεως τοῦ δοιδύκι, (f. 241 v.) καὶ ποτίσεως[1317] τῶν ὑγρῶν, ἄχρις ὅτου πρὸς ἁπτομένου πυρὸς οὐκ ἐκφεύξῃ, ἀλλὰ καὶ εἰσκριτικὸν γίνεται ἐν τοῖς σώμασιν ἄφευκτος μένουσα καὶ ἄκαυστος. Τοῦτο δὲ γίνεσθαι ὀφείλει κατὰ τῆς ἀσήμου παραθέρμης πυρὸς, ἥτις αὐτῇ ἀνιοῦσα καὶ κατιοῦσα ἐν τῷ σφαιρικῷ ὀργάνῳ, δίκην ἀτμίδων[1318] ἀχλυωδῶν, ἄχρις οὗ τὴν ἄκαυστον καὶ ἄφευκτον ὅλην προσκτήσηται δύναμιν · καὶ τὴν αὐτὴν πάλιν ἔξουσιν οἰκονομίαν ἕως ἂν σαπῶσιν παντελῶς, καὶ ἐξυδατωθῶσιν τὰ ξηρία, καὶ τελείως τοῖς ὑγροῖς συμμιγῶσιν καὶ ἑνωθῶσιν, καὶ ἓν, ὡς εἰπεῖν, σῶμα γίνωνται τῇ ἀχωρίστῳ καὶ ποιητικῇ πίστει, τὰ δὲ ὑγρὰ πάλιν στυφῶσιν διὰ στυπτικῶν εἰδῶν, καὶ τελείως σαπῶσιν καὶ ἰωθῶσιν · ἕως καὶ αὐτὰ τὴν ἄφευκτον καὶ πυρίμαχον προσκτήσωνται δύναμιν · τῇ ἀχωρίστῳ ἑνώσει τῇ πρὸς τὰ[1319] ξηρία συνενωθέντα πρὸς τοῖς ὑγροῖς ὁρίοις, χρώματα καὶ δύναμιν[1320] εἰσκριτικὴν ποιοῦνται · ὡς ἡ φυσικὴ πτισάνη ὕδατι ἑψωμένη μαλθακῷ πυρὶ ἅπασα διαλύεται χρωματίζουσα τὸ ὕδωρ, καὶ ἓν μετ' αὐτῶν γεγονυῖα τὸ πᾶν.

4. Μετὰ οὖν τὸ παντελῶς ἀνενεχθῆναι πάντα τὰ ὑγρὰ, λαβὼν τὴν[1321] ἀπομένουσαν ξηράν τε καὶ μελανοειδῆ τρυγίαν,

1317. ἀσήμου en toutes lettres A. — δοιδύκι] διδίκη A.
1318. A mg. : un trait montant.
1319. προσκτείσονται A.
1320. F. l. μορίοις.
1321. λαβὼν τὴν ἀπομένουσαν κ. τ. λ. (jusqu'à la fin du morceau). Texte déjà publié ci-dessus (2, 4 *bis*, appendice 1 d'Olympiodore, p. 104, l. 17), d'après une mauvaise copie du 15e siècle insérée dans le ms. de Saint-Marc.

λεύκανον οὕτως. Ἔστω σοι οἶνος προκατασκευασμένος τῷ δι' ἀσβέστου ὕδατι ἤτοι διεσταγμένῳ[1322] διὰ σποδοῦ ἀλαβαστρίνου, ὡς ἡ σαπωναρικὴ στάκτη. Ἐπίβαλε τοίνυν ἐκ τούτου καὶ πλῦνον αὐτὴν καλῶς, ἕως οὗ μελανοειδὲς τὸ ὕδωρ (f. 242 r.) γένηται. Εἶθ' οὕτως κατάγγιζε ἐπ' αὐτὴν ἕτερον ὕδωρ ἐπιβαλὼν, καὶ, εἰ βούλει, προκατάχωσον ἡμέρας τινάς. Καὶ εἶθ' οὕτως ἀνιὼν πλῦναι ὁμοίως κατὰ τὴν προδηλωθεῖσάν σοι τάξιν · εἰς ὃ καταγγίζων τὸ μελανίζον ὕδωρ, ἐπὶ τῶν ἄλλων αὖθις ἕτερον ἐπίβαλε. Εἶτα κλεῖσον αὐτὰ ἐν ἀγγείοις τὰς αὐτὰς ἡμέρας · καὶ εἶθ' οὕτως ἔκβαλον,[1323] πλῦναι, καὶ οὕτω ποιῶν ἀναλίσκεται ἡ μελανοειδὴς ἐπιφάνεια, καὶ λευκόχροος γίνεται χρυσός. Τὰ δὲ προμελανωθέντα ὕδατα ἔμβαλε ἐν σκεύει τινὶ ὑελίνῳ, καὶ περιπηλώσας καὶ ξηράνας, κατάχωσον ἡμέρας τινὰς, τουτέστιν ἄχρις ὅτου ἐπιπλασθῇ, καὶ ἀραιωθῇ, καὶ πρὸς ἱκανὴν ἔλθῃ λεύκωσιν. Διαλύεται δὲ καὶ ἀραιοῦται · καὶ τεθεῖσα ἐπάνω τινὸς ὄξους, προσδεχομένη τὰς δριμείας αὐτοῦ ἀτμίδας, παραλύε, πωμασθέντος δηλαδὴ τοῦ ἄγγους ἀσφαλῶς. Καὶ οὕτως ὑπὸ τοῦ ὄξους δριμέως ἀτμὸν ἀερόλευκος γίνεται δίκην ψιμμιθίου τοῦ ἀπὸ κοινοῦ[1324] μολίβδου γινομένου. Δύναται γὰρ οὕτως γενέσθαι καὶ ἄσβεστος ἡμετέρα, τιθέντος δηλαδὴ τὸν ἡμέτερον λίθον ἐπάνω τῶν τοῦ ὄξους

La présente rédaction est plus correcte, ou du moins plus facile à établir, et en même temps plus complète.

1322. ὕδατος εἴ τι διαστεταγμένου A.

1323. F. l. τοσαύτας.

1324. F. l. ἀκρόλευκος ?

δριμέων ἀτμῶν, δίκην μολιβδικοῦ πετάλου. Εἰ δὲ ξανθὴν βούλει ταύτην κατασκευάσαι, μετὰ τὸ ἱκανῶς πλῦναι καὶ λευκανθῆναι, τότε μετὰ τοῖς ξανθοῖς σεσηπωμένοις[1325] ὕδασιν προποτισθείη, καὶ προσπλασθείη μετὰ τῶν ξανθῶν ὑδάτων, καὶ μετέπειτα ξηρανθείη.

Ἐπληρώθη ἡ χρῆσις Ἰουστινιανοῦ βασιλέως.[1326]

✴

✴✴

1.2.25 5. — 25. La Grande Héliurgie.[1327]

Transcrit sur M, f. 62 r. — *Écriture du* 15e *siècle.*

ΔΙΑΡΓΑΜΜΑ ΤΗΣ ΜΕΓΑΛΗΣ ΗΛΙΟΥΡΓΙΑΣ ΠΑΡΑΒΑΛΛΟΜΕΝΟΝ ΕΙΣ ΤΗΝ ΟΙΚΟΝΟΜΙΑΝ ΤΟΥ ΠΑΝΤΟΣ.

Ἰστέον ὅτι ἡ μεγάλη ἡλιουργία παραβάλλεται καὶ εἰκονίζεται εἴς τε τὴν τοῦ παντὸς δημιουργίαν, καὶ εἰς αὐτὸν δὴ τὸν δημιουργὸν, κατὰ ἀλληγορίαν τοιάνδε.

Τὸ πᾶν εἰς ἓξ πράγματα θεωρεῖται · εἴς τε τὰ τέσσαρα στοιχεῖα, < καὶ > εἰς ψυχὴν καὶ εἰς αὐτὸν δὴ τὸν θεὸν τὸν τούτων οἰκονόμον καὶ δημιουργόν. Τὰ δὲ τέσσαρα στοιχεῖά εἰσι ταῦτα · πρῶτον μὲν καὶ ἀνωφερέστερον, τὸ πῦρ,

1325. μετὰ τοῖς ξ.] μετὰ pour σὺν.
1326. Ἰουστιανοῦ A.
1327. ἡλιουργίας, ici et plus bas] F. l. χρυσουργίας.

δεύτερον καὶ ὑπὸ τοῦτο, ὁ ἀήρ · τρίτον καὶ ὑπὸ τοῦτο, ἡ γῆ, τέταρτον καὶ ὑπὸ ταύτην, τὸ ὕδωρ. Ἔχεις ἰδοὺ τὰ τέσσαρα στοιχεῖα · πρὸς τούτοις δὲ ἔστι καὶ ἡ ψυχὴ καὶ ὁ θεὸς ὁ τούτων οἰκονόμος καὶ ποιητής. Ἐν τούτοις τοῖς ἓξ τὸ πᾶν τεθεώρηται · εἰσὶ δὲ καὶ ἐν τῇ μεγάλῃ[1328] ὑλουργίας ὕλῃ πράγματα ἔξ αὐτοῖς εὐστόχως παραβαλλόμενα · εἰσὶ δὲ[1329] ταῦτα · ὕδωρ, αἰθάλη, σῶμα, τέφρα, νεφέλη καὶ πῦρ, καὶ τὰ μὲν < πρῶτα > τέσσαρα τούτων τοῖς ἓξ τοῖς τέσσαρσι στοιχείοις συμπαραβάλλονται · τὸ δέ γε πέμπτον, ἤγουν ἡ νεφέλη, τῇ ψυχῇ παρεικάζεται, τὸ δὲ ἕκτον, δηλονότι τὸ πῦρ, τῷ θεῷ εἰκονίζεται.

✴

✴✴

1.2.26 5. — 26. Bénédiction de la Ruche.

ΕΥΧΗ ΕΙΣ ΤΙ ΜΕΛΙΣΣΙΟΝ

Transcrit sur M, f. 3 r. (*main du* 15e *siècle*).

1. Χαῖρε, ἡμῶν κύριε Χ < ριστέ ? > ′ χαῖρε, ζω Δ ρο < ηὐλο > γημένη, ἣν ἱ° < ηὐλο > γησεν ὁ πατὴρ, ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα · ὑπὲρ ἁπάντας ἔχεις τὴν εὐλογίαν · ἐγλύ-κανας καρδίαν · ἐ < κ > τισας[1330] φωνασκὸν ἐκκλησίας,

1328. μεγάλῃ] F. l. < τῆς > μεγάλης.
1329. ὑλουργίας] F. l. ἡλιουργίας.
1330. ἔχεις] εχις M.

ἠγιάσας ἐκ τοῦ τόκου σου · ἐπισύναξον τὰ πούλια σου · ἐπισύναξον τὰ καὶ < διά > δραμε τὰ ἄνθη τῶν ὀραίων[1331] τὰ μυριόγλυκα, τὰ μυριόκαρπα, ἃ ὁ Θεὸς γινώσκει, ἄνθρωπος δὲ οὐ γινώσκει · ὁρκίζω σε < σοβεῖν ? > ἄγριον < σ > φῆκα καὶ σηβα καὶ κόρακα,[1332] καὶ ὄφεις, καὶ κώστης καὶ μέρμιγκα, καὶ πᾶν βλαπτόμενον τὴν μέλισσαν[1333] μὴ ἔχηται ἐξουσίαν < τοῦ > προσεγγίσαι τὰς μελίσσας τοῦ δούλου τοῦ θεοῦ ον. Εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.[1334]

2. Ποίησον σταυρὸν, καὶ γράφε τὴν εὐχὴν ταύτην ἐπὶ τοῦ σταυροῦ ἢ ξύλου, καὶ στυς ἐν μέσῳ τὴν μέλισσαν.[1335]

3. Περὶ να κοιμᾶται ἄνθρωπος. Γράψον εἰς δάφνης φύλλον[1336] · ἐν Βεθλεὲμ τῆς Ἰουδαίας ὁ Χριστὸς ἐγεννήθη · παῦσαι φυλ ὀρημενον εισπδ. Εὐγένιε ἅγιε, δὸς ὕπνον τὸν δοῦλον τοῦ θεοῦ ον.[1337]

4. Περὶ ναμ κοιμτ · ἔψησον τοῦ λαγωοῦ τὰ ὀρχίδια μετὰ οἴνου[1338] καλλ < ίστου > καὶ αὐτὸ ποίει, καὶ οὐ μὴ κοιμᾶται.

✶

✶✶

1331. ἄνθ M. — F. l. ὀρέων.
1332. σηβα F. l. σῆπα. Cp. Pline, H. N. 11, 21.
1333. κώστης] lire καύστεις (?) pour πυραύστης. (Cp. Aristote, Hist. des animaux, 9, 27) ;— ou ἀγρώστεις (Nicandre, Ther., vers 734.) — F. l. μερμήγκια.
1334. ον] place du nom de l'intéressé.
1335. στυς] F. l. στῆσον. — F. l. τοῦ μελίσσι.
1336. να κοιμᾶται] να κοιμτ M.
1337. δῶς M. — F. l. τῷ δούλῳ.
1338. F. l. περὶ τοῦ να μὴ κοιμᾶται. — ποίει] F. l. πίῃ. — οὐ] F. l. ον.

1.2.27 5. — 27. ΠΟΙΗΣΙΣ ΑΡΓΥΡΟΥ.

Transcrit sur M, f. 194 v. (*main du* 15e *siècle* ; *probablement celle qui a écrit le morceau* 3, 48.)

Λαβὼν μολύβδου μοῖραν α΄, κασσιτέρου μοίρας S΄΄, διὰ χώνης χοῦν ποίει · καὶ τρίψας ὄξει καὶ ἅλατι, λεύκαινε ταῦτα. Εἶτα βαλὼν εἰς κατζίον ἐν ἐλαίῳ λύε τρίς. Εἶτα ἐπὶ μοίρας ε΄ τούτων βάλε ἀργύρου [1339] μοῖραν α΄ · καὶ ἑνώσας διάλυε πυρί. Ἔπειτα λύων κασσιτέρου μοίρας ε΄, ἀπὸ τούτου βάλε τοῦ συνθέματος μοῖραν μίαν · καὶ ὄψῃ αὐτὴν τὴν φύσιν τοῦ ἀργύρου.

ΕΤΕΡΩΣ. Λαβὼν ὑδράργυρον δυτικὸν καὶ ὑδράργυρον ἀνατολικὸν, ἐπίσης τρίψον καὶ βάλε εἰς ὕελον, καὶ ἕψει ἑπτάκις · τὸ δὲ ἀναβαίνει ὡσεὶ κρύσταλλος. Εἶτα τρίψον αὐτὸ μετὰ λευκοῦ τῶν ὠῶν, καὶ αὖθις ἕψει, καὶ ἀναβαίνει ὡσεὶ κρύσταλλος. Εἶτα τοῦτο λαβὼν, ποίει ἀπαιωρῶν ἐν τῷ σκεύει τοῦ ὄξους ὡς τὸ ἄνω ῥηθέν · καὶ στάζει κάτω τὸ ὕδωρ · ἐν ᾧ βαλὼν τὰ λευκὰ, ἔνθαψον αὐτὸ φιλοσόφως ὑέλῳ εἰς κόπρον ἡμέρας μ΄, ἄχρις ἂν ὅλον γένηται ὕδωρ.

Τοῦτο Σολομῶντος Ἰουδαίου ἐκ τῶν ἱερῶν τοῦ ἡλίου.

✶

✶✶

1339. κατζίον, en italien *cazza*.

1.2.28 5. — 28. ΠΕΡΙ ΤΟΥ ΟΡΕΙΧΑΛΚΟΥ.[1340]

Transcrit sur E, f. 184 v. (*partie écrite par le copiste de* La, b, c.)

1. < Λαβὼν > τουτίαν ἀλεξανδρινὴν καὶ τάρταρον καὶ κουκάλευρον,[1341] καὶ κόπρον, καὶ σύκα, καὶ σταφίδας, χύνε τὸ χάλκωμα, καὶ ῥεϊτεράριζε[1342] του πολλάκις με νέαν ἰατρείαν, καὶ γίνεται ὁ χαλκὸς ὡς χρυσός.[1343]

2. Καὶ κρόκον βάλε καὶ κορκουμὰν, καὶ μέλι, καὶ ἄλλα κίτρινα · νόει κρόκους ὠῶν καὶ χολὴν βοὸς κιτρίνου ξηράν.

✶
✶✶

1.2.29 5. — 29. ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΑΚΑΥΣΤΟΥ.

Transcrit sur A, f. 279 r.

Λαβὼν θεῖον ἄπυρον, λείωσον οὔρῳ ἀφθόρου · εἶτα λαβὼν ἅλμην δικαίαν, ἔψε ἕως ἐπιπλεύσῃ, καὶ γίνεται ἄκαυστον. Δοκιμάζων καὶ[1344] ἐπαίρων καὶ βλέπων, (f. 279 v.) ἕως γένηται ἄκαυστον, ἕως ἴδῃς ὅτι οὐκέτι καίεται, καὶ λάβε τὸ αὐτὸ ὕδωρ ἄκαυστον, βάλε εἰς ἅλας ἄνθιον, λειῶν, ποιῶν ὡς τὸ θεῖον ἄκαυστον · τοῦτό ἐστιν τὸ θεῖον[1345]

1340. ὠρειχάλκου E.
1341. F. l. κουκκάλευρον.
1342. σταφίδες E. f. mel. (néogrec).
1343. του] F. l. τοῦτο.
1344. δοκιμάζον καὶ ἐπέρον καὶ βλέπον A.
1345. ἐστιν, au lieu de ἐστι, laisse supposer un original du 10e au 12e siècle.

μυστήριον. Ἄλλοι δὲ μόλιβδον τὸ θεῖον συνλειοῦσιν ἅμα ἅλας ἄνθιον,[1346] καὶ ποιοῦσιν τὸ θεῖον μυστήριον.

✶
✶✶

1.2.30 5. — 30. ΛΕΥΚΩΣΙΣ ΥΔΑΤΟΣ ΔΙ' ΟΥ ΛΕΥΚΑΙΝΕΤΑΙ ΟΙΚΟΝΟΜΟΥΜΕΝΟΝ ΤΟ ΑΡΣΕΝΙΚΟΝ ΚΑΙ ΣΑΝΔΑΡΑΧΗ.

Suite du texte précédent.

Ὅτε συνενοῦται ὁ χαλκὸς ὀπτούμενος στυπτηρίας σχιστῆς μέρος α΄,[1347] κόμμεως λευκοῦ μέρος α΄, λύει σὺν τῷ κόμμει ὕδωρ, καὶ ὅταν λύει,[1348] γίνεται γλοιοῦ πάχος. Βάλε τὴν στυπτηρίαν ἀπὸ σκεῦος, καὶ κατάχεε[1349] τὸ ὕδωρ τοῦ κόμμεως · ὅπτα ἕως οὗ ἀναξηρανθῇ, καὶ ἔχε. Τοῦτο[1350] συνλειοῦται τὸ ἀρσενίκην, καὶ ἡ σανδαράχη, καὶ χαλκὸς, καὶ τότε εἰς τὴν ὅπτησιν ἄγει.

✶
✶✶

1346. F. l. τῷ θείῳ.
1347. F. l. ὀπτώμενος.
1348. λύει] F. l. λείου.
1349. γλύου A. — ἀπὸ] F. l. ἐπὶ.
1350. F. l. τούτῳ.

1.2.31 5. — 31. ΠΕΡΙ ΛΕΥΚΩΣΕΩΣ ΤΟΥ ΑΡΣΕΝΙΚΟΥ ΤΟΥ ΣΧΙΣΤΟΥ.

Suite du texte précédent.

Λαβὼν ἀρσενίκην, λείωσον μετὰ ὄξους ἴσου · καὶ ἀναλαβὼν, ἐπίθες ἐπάνω κηροτακίδι φιάλην ἐπὶ φιάλην · ἐπάνω περιπηλώσας, ἐλαφρῷ[1351] πυρὶ ὑπόκαιε, ἄχρις ἂν ἴδῃς τὴν φιάλην γενομένην ... Καὶ ἄρας τὴν[1352] αἰθάλην, ποίησον ὡς κηρωτὴν μετὰ ὕδατος, καὶ κόλλησον τὴν φιάλην χρησίμως γενομένην σὺν ἀριθμῷ · ἔασον δὲ τὸ θεῖον ἄχρις ἂν λευκανθῇ,[1353] καὶ ὄπτησον ἐν θερμοσποδιᾷ, ὡς ἄνω πρόκειται, καὶ ἔχε · καὶ λαβὼν σανδαράχην, λειοτρίβησον μετὰ ὄξους · βαλὼν εἰς β′ θήκας, βάλε εἰς κλίβανον, καὶ ἄρας τὴν αἰθάλην, (f. 280 r.) ἔχε ἀρσενίκην καὶ σανδαράχην. Καὶ ἡ μαγνησία οὕτω πρῶτον λευκαίνεται ὡς ρῶν (sic), καὶ μετὰ ξανθοῦται.[1354]

✶

✶✶

1.2.32 5. — 32. ΠΕΡΙ ΤΟΥ ΧΡΥΣΩΣΑΙ ΣΙΔΗΡΟΝ.

Transcrit sur A, f. 295 r.

1351. φυάλην A partout.
1352. Après γενομένην] F. suppl. χλιαράν ?
1353. γενομένην] F. l. λεγομένην. — ἀριθμῶ en toutes lettres A. F. l. ὄξει. (Confusion probable des signes de ces deux mots dans un ms. antérieur.)
1354. ρῶν] F. l. χιὼν.

1. Λαβὼν στύψιν οὐγγ. α′ C″, σαλγέμα οὐγγ. α′ C″,[1355] τάρταρον οὐγγ. β′, βιτρίολον ῥωμάνον οὐγγ. C″, ἀλούμα ντε πίουμα οὐγγ. C″, βερδεράμην ἑξάγ.[1356] β′ ἢ γ′, πεπέρεως οὐγγ. C″, ἄλας κοινὸν οὐγγ. α′, ταῦτα τρίψον καλῶς λίαν λεπτὰ χώρια ἢ καὶ ὁμοῦ καὶ ἀνακάτωσέ τα καὶ βαλὼν εἰς τζουκάλιν ταῦτα γανωμένον, ἀφόριον, καὶ βαλὼν ὅσον δύο γαστέρων νερὸν μέσα, καὶ βαλὼν ἵνα βράσουν ἕως οὗ να μὴ νουντὰ γ′ μερτικὰ[1357] τὸ νερὸν, καὶ κλεῖσον · τοῦτο ἔχε πεφυλαγμένον.

2. Καὶ τότε βερωνικιάζεις τὸ σίδηρον, καὶ πυρρόνεις, καὶ στεγνόνεις[1358] το καλῶς. Εἶτα τὸ πλουμίζεις, καὶ γράφεις ἐπ' αὐτῷ ὅ τι θέλεις, ποιεῖς ἐπάνω εἰς τὸ βερονίκην μετὰ σιδηροῦν ποντα ρώλην. Εἶτα ἔχε φάρμακον[1359] λευκὸν ἤγουν σουλιμὰ, καὶ τρίψον αὐτὸν λεπτὰ πολλά. Καὶ τότε τὸν[1360] βάλλε εἰς ἀγγεῖον, καὶ βάλλε καὶ οὖρος ἀνθρώπινον καὶ ἀνακάτωσέ το καλῶς. Καὶ τότε χρίε τὰ γράμματα μετὰ πτεροῦ, τὰ ἔχεις γραμμένα εἰς τὸ σίδηρον, καὶ πύρονε αὐτὸ εἰς θέρμην πυρὸς, ἵνα στεγνόνῃ.[1361] Καὶ πάλιν τὸ χρίε καὶ στέγνονε αὐτὸ ἕως ὥρας γ′ καλές · καὶ ὅταν ἴδῃς ὅτι[1362] ἔφαγεν τὸ νερὸν τὸ σίδηρον καὶ λάκκωσεν, κάμε να τὸ

1355. σαλγέμα, en italien *salgemma*.
1356. βιτριόλω ῥωμάνω A. — ἀλούμα, en italien, *aluma*, alun. — ντε, valeur de *de*.
1357. F. l. ἕως οὗ να μένουν τὰ γ′ μέρη.
1358. πυρόνης A, ici et plus bas.
1359. ποντα ρώλην, en italien *punteruolo*.
1360. σουλιμὰ, à rapprocher de l'italien *solimato*, sublimé.
1361. αὐτῶν A.
1362. καλὲς, byzantin, pour καλὰς.

λευκόνῃς πολλὰ[1363] δυνατὰ, ὥστε να εὐγάλῃς τὸ φαρμάκην καὶ τὸ οὖρος παντελῶς ἀπὸ τὰ γράμματα. Καὶ χρὴ να τὸ κρατῇς μετὰ μανδίλιον καθαρὸν ἄσπρον, να μὴ δὲν ἔχῃ ῥύπον, καὶ να προσέχῃς να μὴ δέν σου κορνιαχτιστοῦν τὰ γράμματα.

3. Καὶ τότε ἔχε χρυσάφην ἀπὸ φλουρία βενέτικα, καὶ κοπάνισον αὐτὸ εἰς τὸ ἀκμόνην με τὸ σφύρην, να γένῃ λεπτὸν ὡς τριαντάφυλλα. Εἶτα κόψε το κομματόπουλα μικρὰ μικρὰ, καὶ ἔχε τοῦτο. Εἶτα σείρωσον τὴν ὑδράργυρον μετὰ καμούτζας σφικτὰ, καὶ μίαν καὶ δύο φορὰς να[1364] καθαρίζει ἀπὸ ῥύπον · καὶ τότε βάλλε χωνὴν εἰς τὸ καμίνην χρυσοχόου, ἵνα κοκκινήσῃ, καὶ εὔγαλον αὐτὸ ἔξω · καὶ τότε βάλλε τὸ χρυσάφην ἀπέσω εἰς τὸ χωνὴν, καὶ βάλλε καὶ ἀπὸ τὴν ὑδάργυρον, καὶ συχνοτάραζε[1365] τὸ χωνὴν, καὶ λείεται τὸ χρυσάφην, καὶ γίνεται ἕνα με τὴν ὑδάργυρον.[1366] Καὶ τότε τὸ χύσε εἰς γαδουροπόδιν.[1367]

✶
✶✶

1363. καμενατο λευκόνεις A.
1364. καμούτζας, en italien *camozza*.
1365. F. l. συχνὰ τάραξαι.
1366. F. l. λύεται.
1367. F. l.γαϊδουροπόδιν, *spondyle*, *pied-d'âne*, vulgairement *pied-de-cheval*.

1.3 Sixième Partie. — Commentateurs.

1.3.1 6. — 1. ΤΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ΠΕΡΙ ΕΥΣΤΑΘΕΙΑΣ ΤΟΥ ΧΡΥΣΟΥ.

Transcrit sur M, f. 110 r. — *Collationné sur* B, f. 91 r. ;— *sur* A, f. 29 v. ;— *sur* K, f. 5 v. ;— *sur* E, f. 5 r. ;— *sur* Lb (copie de E), p. 1. — *Chapitre* 1^er^ *de la compilation du Chrétien dans* E Lb. — *Les variantes et additions de* M *ont été reportées en marge de* K *dans ce morceau et dans les onze morceaux suivants. — Les notes et corrections marginales de* E *sont, ici comme partout, de la main du copiste de* La, b, c. — Lb *donne une traduction latine en regard du texte.*

1. Τῆς δευτέρας πραγματείας ἄρτι τὸν λόγον πεποιημένος, καὶ τῶν[1368] λίθων τὰς μεθόδους ἀφθόνως ἐκθέμενος, ἐπὶ τὴν τρίτην ἥκω πραγματείαν,[1369] προδιηγούμενος τι χρήσιμον τῇ γραφῇ · ἔστι δὲ τοῦτο. Τὰ θειώδη[1370] ὑπὸ τῶν θειωδῶν κρατοῦνται, καὶ τὰ ὑγρὰ ὑπὸ τῶν καταλλήλων ὑγρῶν. Τοῦτο μὲν τὸ προοίμιον ὁ ἐξ Ἀβδήρων σοφιστὴς ἐν τῇ τετάρτῃ τέθεικεν πραγματείᾳ, δεικνὺς ὅτι αὐτό ἐστιν καὶ ὑγρὸν καὶ κατάλληλον ὑγρὸν καὶ θειῶδες · ὅτι τὸ

1368. A mg. sup. (encre plus pâle ; écriture du temps) : Ἰάκωβος ὁ θεόπνευστος, ἐντὸς τοῦ λόγου εὑρήσεις. Puis (encre et main du copiste) : Δεῖ γινώσκειν ὅτι ὁ Ἰὼβ ἐν τῇ πληγῇ ἐποίησεν ἔτη ζ′ ὕμισει (lire ἥμισυ).

1369. ἥκω] εἶκω M.

1370. τὰ θειώδη ...] Cp. 3, 25, p. 186. l. 8. — Lb mg. : 275, 277 (renvoi aux pages contenant cette citation), puis : *V. Lulle, livre des mercures, chap. de l'animation des êtres*, p. 261 [dans *Bibliotheca chemica* t. 1, p. 824 et suiv]. — *Paganus*, p. 67. — *Anos* (?), p. 73.

κηρίον τῆς οἰκονομίας τὸ κρατεῖσθαι τὰ θειώδη ὑπὸ τῶν θειωδῶν, καὶ τὰ ὑγρὰ ὑπὸ τῶν καταλλήλων ὑγρῶν. Ἡ γὰρ φύσις[1371] τῇ φύσει τέρπεται · οὕτως καὶ ἡ φύσις τῇ φύσει νικᾷ, καὶ ἡ φύσις τὴν[1372] φύσιν κρατεῖ, καθὼς αὐτὸς τε καὶ Ὀστάνης ὁ διδάσκαλος ἔφασαν.

2. Ἡμεῖς δὲ, ταῖς ἐκείνων ἑπόμενοι παραδόσεσιν, τῷ αὐτῷ προοιμίῳ τῆς περὶ χρυσοῦ καὶ ἀργύρου πραγματείας τετάχαμεν, οὐκ ἀλλοτριοῦντες αὐτῷ τῶν τεσσάρων, ἤτοι τῶν ὅλων βιβλίων τῆς τέχνης, τοῦτο γὰρ[1373] ἀδύνατον, ἀλλ' ἐν μέσῳ αὐτῷ θέντες κυριώτερον, ἀποδείξομεν οἵά τε[1374] κέντρον κύκλου τὰς εὐθείας γραμμὰς ὑπὸ τὴν ἔσω περιφέρειαν ἴσα ποιοῦσιν, καὶ οἵά τε πηγὴ ἀέναος ἐν μέσῳ παραδείσου βλύζουσα πότιμον[1375] νάμα καὶ γόνιμον, τῷ παντὶ χαριζό- (f. 110 v.) μενοι, καὶ οἵά τε ἥλιον[1376] μεσημβρινὸν ἐν μεσουρανήματι ὄντα ἐνὶ τῶν τεσσάρων κέντρων ἄνευ[1377] σκιᾶς ἅπαν τὸ ὑπὲρ γῆν ἡμισφαίριον καταυγάζοντα. Ἡ σελήνη ὡς αὕτως τὴν ὑπ' οὐρανον καταλάμπουσα, καὶ τὸ

1371. κηρίον] κύριον BAK E Lb (= B etc.), mel.
1372. Après τέρπεται] add. de AKE Lb : καὶ ἡ φύσις τὴν φύσιν νικᾷ. — τῇ φύσει] τὴν φύσιν B mel. ; om. AKE Lb (phrase placée plus haut).
1373. αὐτῷ] αὐτῶν BAK ; αὐτὸ E Lb.
1374. Après κυριώτερον] ὑποδείξομεν E Lb. — E mg. (de la main de Lb) : *addo ad sensum* ὅτι ἐν τούτῳ τῷ προοιμίῳ ἤγουν ἐν τοῖς θειώδεσι, καὶ ἐν τοῖς ὑγροῖς, συνίσταται τὸ πᾶν τῆς ὅλης πραγματείας — même addition dans Lb, entre crochets et, à la marge : *inclusa supplevi ad sensum.*
1375. ἀέναον M. — βλύζουσαν M.
1376. χαρίζεται E Lb. — E mg. : *Erat* χαριζόμενοι, *sed correxi* χαριζομένην (note biffée). — ἥλιον] signe de χρυσόκολλα MB etc. E mg. : *corr.* signe de ἥλιος, puis : *signum significans* ἥλιον (n. biffée).
1377. μεσημβρινὸς ... ὢν E Lb. — ἐνὶ] ἐν ἐνὶ E Lb.

ἀμηδὲς τῆς νυκτὸς ἀφανίζουσα,[1378] πλησιφαῶν τῶν δίσκων ἅπαντα τοῦ ἡλιακοῦ στησαμένη φωτός.[1379] Ἄνευ γὰρ τῶν ὑγρῶν τοῦ φιλοσόφου τελευθῆναί τι τῶν ποθουμένων ἀμήχανον.[1380]

3. Ἀλλ' ἐπὶ καιροῦ, τὸν λόγον τῆς πρώτης αὐτοῦ τάξεως μνησθησόμεθα,[1381] καὶ ἔπειτα καὶ ἡμεῖς ταῖς ἐννοίαις ἐκείνου πειθόμενοι, καὶ ὃ[1382] δ' ἂν ἐκινήθημεν, ἐροῦμεν. Λαβὼν, φησὶν, ὑδράργυρον, πῆξον τῷ τῆς[1383] μαγνησίας σώματι, ἢ τῷ τοῦ ἰταλικοῦ στίμμεως σώματι, ἢ θείῳ ἀπύρῳ, ἢ ἀφροσελήνῳ, ἢ τιτάνῳ ὀπτῷ, ἢ στυπτηρίᾳ τῇ ἀπὸ Μήλου, ἢ ὡς ἐπινοεῖς. Τούτων ἀκηκοὼς ὁ θεσπέσιος Ζώσιμος ὑδράργυρον μέντοι θεῖον ὕδωρ παρεγράφη τὸ ἐν ταῖς βούκλαις ἀποτιθέμενον · σῶμα δὲ[1384] μαγνησίας ἐντὸς κατ' ἐνέργειαν κέκληκεν τὸ οἰκονομηθὲν λευκὸν σύνθεμα,[1385] στίμ-

1378. ἀμηδὲς] ἀμειδὲς B ; ἀμειγὲς (pour ἀμιγὲς) γ sur δ gratté A ; ἀμιγὲς K ; ἀμειδὲς E et mg. : *in ms. magno* [scil. K] *in margine*, ἀμηδὲς *sine cura.* — ἁμαυρὸν Lb. — νυκτὸς] ἢ Ἥρας (sous νυκτὸς) A ; ἡ ρ M ; νυκτὸς sous-pointillé K, et au-dessus : ἡ ῥαφανίζουσα (d'après M). — τῆς νυκτὸς ἀφανίζει E Lb. — E mg. : note rendant compte de l'état de K.

1379. πλησιφανῶν AK ; πλησιφαῆ E Lb. — τὸν δίσκον E Lb. — στησαμένου AKE Lb. — φωτὸς] E mg. inf. : *Adde ad sensum* : οὕτω καὶ ταῦτα τὰ ῥήματα, ἤγουν τὰ θειώδη ὑπὸ τῶν θειωδῶν κρατοῦνται, καὶ τὰ ὑγρὰ ὑπὸ τῶν καταλλήλων ὑγρῶν, εἰσὶ, κέντρον, καὶ πηγὴ, καὶ φῶς πάσης τῆς τέχνης. Phrase ajoutée dans le texte de Lb qui note en marge : *inclusa quæ sine dubio omissa sunt supplevi ad sensum.* — En marge des mots ἄνευ — ἀμήχανον, ligne verticale dans Lb, en guise de guillemets.

1380. τελεσθῆναι B etc.

1381. τῶν λόγων B etc., f. mel. — μνησθησώμεθα E Lb.

1382. καὶ ὃ δ' ἂν ἐκ] καὶ ὁ δαν ἐκ. M ; ὃ ἂν εἰπεῖν ἐκ. BAK ; ὅπερ εἰπεῖν ἐκ. E Lb.

1383. φησὶν] Cp. Démocrite, 2, 1, 4.

1384. παρεγγράφει BAKE ; ἐγγράφει Lb, et mg. : l. ἐγγράφει.

1385. F. l. ἐν τῷ κατ' ἐνέργειαν.

μεως δὲ τῷ ἰταλικῷ, καὶ ἀσβέστῳ, καὶ στυπτηρίᾳ τῇ ἀπὸ[1386] Μήλου, καὶ τὰ λοιπὰ, τῷ θείῳ ὕδατι. Ἐγὼ, φησὶν, ἐννόω · συλλήβδην[1387] δὲ περὶ πάσης τῆς τάξεως εἴρηκεν οὕτως. Ἐν τῇ ἀρχῇ τὸ πέρας τῆς τέχνης ἀπέδειξεν · πρὸς ὃν ἐροῦμεν · Τίς ἡ αἰτία τοῦ λόγου ; φράσαι, διδάσκαλε · τίνος χάριν, τοῦ φιλοσόφου λέγοντος ἐν τῇ πρώτῃ τῶν αὐτοῦ τάξεων · « Λαβὼν ὑδράργυρον, πῆξον τῷ τῆς μαγνησίας σώματι, » σὺ λέγεις ὅτι τῷ λόγῳ τὸ πέρας τῆς τέ (111 r.) χνης ἐνέφηνεν ;

4. Τί δή ποτε οὖν τοσαῦται βίβλοι καὶ δημονοκλησίαι, καὶ καμίνων[1388] καὶ ὀργάνων κατασκευαὶ τοῖς παλαιοῖς ἀνεγράφησαν, πάντων τῶν,[1389] ὡς σὺ φῂς, ὄντων ῥᾳδίων τε καὶ συντόμων ; Πολλάκις, εἶπεν, ὦ φοιτητὰ[1390] τῶν Δημοκριτείων λόγων, τάχα ἵνα ὑμῶν γυμνάσῃ τὰς φρένας.[1391] Ὁ νοῦς γὰρ ἐὰν εὕρῃ ὁδὸν, ἑαυτὸν φάναι, πάντα γινώσκει κατὰ μετοχὴν,[1392] οὐκ ἐκ φύσεως. Οὐ γάρ ἐστιν ἄνθρωπος φύσει θεὸς, ἀλλὰ εἰκὼν τοῦ[1393] εἰπόντος θεοῦ πρὸς τὸν

1386. στίμμι δὲ ἰταλικὸν καὶ ἄσβεστον, καὶ στυπτηρίαν E par correction Lb.
1387. E mg. : *in Democrito add.* ἢ ἀρσενικῷ. (Cp. ci-dessus, p. 44, l. 1). — τῷ θείῳ ὕδατι] τὸ θεῖον ὕδωρ E Lb. (Dans Lb, θεῖον biffé et remplacé par σῶμα, et mg. : *Lego et corrigo* σῶμα. — συλλίβδιν M.
1388. δημονοκλησίαι] θεοκλησίαι B etc.
1389. τῶν om. B etc.
1390. σὺ om. B etc. — φῂς] φησὶν AKE Lb. — εἶπεν] ὁμῶς Lb. — φοιτηταὶ B etc.
1391. δημοκριτίων ME. — δημοκρίτων BAK. E mg. : *Lego* δημοκρίτου.
1392. F. l. ὁδὸν ἑαυτοῦ. — ἑαυτὸν φάναι] πρὸς τὸ ἑαυτὸν φανερῶσαι Lb.
1393. καὶ οὐκ E Lb. — ὁ ἄνθρωπος Lb.

υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον · « Ποίησωμεν[1394] ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. » — « Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες[1395] ; φησὶν ὁ τῆς εὐσεβείας κήρυξ, ὁ ἀπόστολος Παῦλος. Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι, ὡς μὴ λαβών ; » Οἷόν τινι συνόδῳ φράζων, καὶ[1396] ὁ Ἰάκωβος ὁ θεόπνευστος ἔλεγεν · « Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν[1397] δώρημα τέλειον ἄνωθέν ἐστιν, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων,[1398] » καθὰ καὶ αὐτὸς ὁ τῶν ὅλων θεὸς καὶ κύριος ἡμῶν καὶ διδάσκαλος Ἰησοῦς ὁ Χριστὸς διδάσκων ἡμᾶς λέγει · « Οὐδὲν δύνασθε ἀφ' ἑαυτῶν[1399] λαβεῖν ἐὰν μὴ ᾖ δεδομένον ὑμῖν ἐκ τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς. Δεῖ τοίνυν ἡμᾶς αἰτεῖν παρὰ θεοῦ καὶ ζητεῖν καὶ κρούειν, ἵνα λάβωμεν. » « Αἰτεῖτε γὰρ, φησὶν ὁ θεῖος χρησμὸς, καὶ λαμβάνετε, ζητεῖτε καὶ[1400] εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. » Ὁρᾶν δὲ χρὴ τῆς[1401] ἑαυτοῦ πολιτείας ἅμα καὶ προθέσεως ἕκαστος τὸ ἀκηρότατόν (f. 111 v.) τε καὶ τῆς αἰτήσεως ἄξιον πρόδρομον, ἵνα πεπαρρησιασμένως[1402] αἰτῶν μὴ ἀστοχήσῃ, ὅπως μὴ μάτην παρακαλῇ. Ἐρεῖ γὰρ τὸ

1394. Genèse, 1, 26.
1395. Paul, 1 Cor. 4, 7. — τί δὲ Paul.
1396. ᾧ τινι συνῳδὰ φράζων B etc.
1397. Jacques, Ép. 1, 17.
1398. καταβαίνων M. — ἐκ σοῦ τοῦ πατρὸς B etc. — E mg. : *al. legitur* ἀπὸ (note biffée).
1399. Jean, 3, 27.
1400. Matth., 7, 7-8 ; Luc. 11, 9-10. — λαμβάνετε] δοθήσεται Lb (comme dans l'Évangile).
1401. εὑρήση M. — Réd. de E Lb : χρὴ δὲ τῆς ἑ. πολ. ἕκαστον ὁρᾷν.
1402. ἵνα μὴ E Lb.

θεῖον[1403] λόγιον · « Ἐὰν μὴ ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν. » Καὶ πάλιν · « Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι[1404] κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς δαπανήσητε αὐτά, μοιχαλίδες.[1405] » Δεῖ οὖν ἡμᾶς ἐν καθαρᾷ συνειδήσει καὶ πράξει καὶ τρόπῳ τὸν θεὸν ἱκετεύειν.

5. Ταῦτα τοῦ φιλοσόφου Ζωσίμου λέγοντος, καὶ καλῶς ἡμᾶς νουθετήσαντος,[1406] τῆς ζητήσεως ἀνθεξόμεθα, τί ἐστιν ὑδράργυρος καὶ τί τὸ[1407] σῶμα τῆς μαγνησίας · τὰ γὰρ ἄλλα πάντα ταῦτα τῷ σώματι τῆς[1408] μαγνησίας · οὐ γὰρ τὸν Ἤ σύνδεσμον ἐνταῦθα παραλειπτέον τὸν ἀντὶ[1409] τοῦ καὶ διαζευκτικοῦ, ὡς τρεῖς ἢ ε′ ἢ ζ′ ἦν, ὡς εἶναι πᾶσαι τῆς σήψεως[1410] πρὸς τὸ τοῦ Δημοκρίτου ιε′, καθά φησιν ὁ θεσπέσιος Ζώσιμος ἐν τῷ[1411] περὶ θείων ὑδάτων λόγῳ, ὅτι « τὰ δύο θεῖα ἕν ἐστι σύνθεμα. »

6. Δύο τοίνυν ὄντων τῶν ὑδραργύρων καὶ σωμάτων, ἀμάχως τὸ λευκὸν σύνθεμα καὶ τὸ ὕδωρ τοῦ θείου ταὐτόν ἐσ-

1403. παρακαλὼν M.
1404. Jacques, 4, 3.
1405. μοιχαλλίδες M ; μοιχαλίσι BAK ; καὶ μοιχαλίσι E (souligné) Lb.
1406. Ταῦτα οὖν Lb.
1407. ἀνθεξώμεθα B etc.
1408. F. l. ταὐτὰ. — Réd. de Lb : καὶ τἆλλα πάντα τὰ ἐν τῷ σώμ. τ. μαγν.
1409. οὐ γὰρ τὸν ...] τὸν γὰρ Ἤ διαζευκτικὸν συνδ. B etc. — παραλειπτέον B etc. mel. — τὸν om. B etc.
1410. διαζευκτικοῦ] συμπλεκτικοῦ συνδέσμου B etc. ὡς — σήψεως] Réd. de Lb : ὥστε τρία ἢ πέντε ἢ ἑπτὰ εἶναι ὥστε εἶναι πάσας τὰς ἡμέρας τῆς σήψεως — πᾶσαι] πάσας E, et mg. : *addo ex contextu* (? biffé) *sensus* : τὰς ἡμέρας.
1411. πρὸς] κατὰ Lb. — Cp. ci-dessus, p. 175, l. 23. — καθά φασι καὶ οἱ φιλόσοφοι ἐν τῷ ... BAKE ; καθά φησιν καὶ ὁ θ. Z. Lb.

τιν, ὡς καὶ αὐτῷ Δημοκρίτῳ δοκεῖ λέγειν. Τὸ γοῦν θεῖον θείῳ μιγὲν θείας ποιεῖ τὰς[1412] οὐσίας, πολλὴν ἔχοντα τὴν πρὸς ἄλληλα συγγένειαν. Εἰ δὲ καὶ ταῦτα πολλὴν ἔχουσιν τὴν πρὸς ἄλληλα συγγένειαν, δῆλον ὡς τῆς ἑαυτοῦ[1413] εἰσι φύσεως · εἰ δὲ τῆς αὐτῆς εἰσι φύσεως, εὔδηλον ὡς μέρη μόνον εἰσὶ τοῦ παντὸς, ἤτοι ἑνὸς συνθέματος. Οὐκοῦν καὶ ζητήσωμεν τί ἂν εἴη τὸ ἓν οὗ μέρη τὰ δύο θεῖα, ἢ θειώδη ὑγρὰ, ἢ κατάλληλα ὑγρὰ τυγχάνοντα.[1414]

✶

✶✶

1.3.2 6. — 2. ΤΟΥ ΑΥΤΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΥΔΑΤΟΣ.[1415]

ΠΟΣΑ ΤΑ ΕΙΔΗ ΤΟΥ ΓΕΝΙΚΟΥ ΘΕΙΟΥ ΥΔΑΤΟΣ ΚΑΙ ΤΙΣ Ο ΕΠΙ ΤΗΣ[1416] ΤΙΤΑΝΟΥ ΛΟΓΟΣ ΚΑΙ ΤΙΝΑ ΤΟΥΤΩΝ ΕΙΣΙ ΤΑ ΟΝΟΜΑΤΑ.[1417]

Transcrit sur M, f. 101. — *Collationné sur* B, f. 101 v. ;— *sur* A, f. 99 r. ;— *sur* K, f. 9 r. ;— *sur* E, f. 16 r. ; *sur* Lb, p. 49. — *Chapitre* 13 *dans* E, 14 *dans* Lb, *de la compilation du Chrétien.*

1412. Lb mg. int. : *Paganus*, p. 67 ; mg. ext. : *V. Lul. libro* 8°, p. 260, 261.
1413. συγγένειαν om. M. — ἑαυτοῦ] αὐτῆς Lb, mel.
1414. οὗ] οὐ M (corrigé de 2e main) ; BAK.
1415. αὐτοῦ om. BAK ; σοφωτάτου (biffé).
1416. καὶ πόσα B etc.
1417. λόγος add. Lc. — τίτανος M.

Ὁ περὶ τοῦ θείου ὕδατος λόγος, βέλτιστε Σέργιε, πολλοῖς μὲν[1418] γέγονεν ἤδη, πολλοῖς δὲ δυσεύρετος διὰ τὸ εἶναι ὑμὰς ἀπειθεῖς καὶ[1419] ὀκνηρούς. Πάντες δὲ οἱ συγγραφεῖς τῆς τέχνης αὐτὸ ἐκθειάζουσιν,[1420] διττῶς ἐξηγούμενοι, καὶ δυσηγορίαις τῷ ὕδατι τούτῳ κοσμήσαντες,[1421] ποτὲ μὲν ἄθικτον, ποτὲ δὲ δι' ἀσβέστου καλοῦντες, καὶ τοῦτου ἑκάτερον[1422] ἐπὶ ξανθοῦ τε καὶ μέλανος καὶ λευκοῦ, πλὴν εἰς ἔννοιαν πρὸς ἑαυτοὺς διεφώνησαν. Ἐν γὰρ τοῖς καταλόγοις τῶν εἰδῶν, τινὲς τὰ κατό- (f. 101 v.) χιμα συνεγράψαντο σαφῶς, μετρίας ἐμφάσεις τῶν[1423] οὐχ ἱσταμένων ποιήσαντες · ἕτεροι δὲ ποσῶς αἰνιξάμενοι τὰ κατέχοντα,[1424] τῶν φευγόντων πλουσίως ἐμνήσθησαν · ἄλλοι δὲ πάντων μνησθέντες ἑτέροις εἴδεσιν καὶ οἰκονομίαις ταῦτα διεγράψαντο,[1425] οὐ φθόνῳ κατεχόμενοι [πεποιήκασιν], συμπαθείᾳ δὲ μᾶλλον.[1426]

✶

✶✶

1418. Σέργιε] Voir la note de la traduction.
1419. πολλοῖς] πολλοῖς ὺς E : πολὺς Lb, f. mel.
1420. δὲ om. BAKE ; γὰρ Lb.
1421. ἐξηγ. τοῦτο Lb. — F. l. δισσηγορίαις (mot supposé). — τὸ ὕδωρ τοῦτο B etc.
1422. F. l. διάσβεστον. Cp. 3, 38, 47, 6. 6, 5, 1. — τούτου] F. l. τούτων.
1423. κατόχημα M ; κατόχυμα AK Lb.
1424. ἠνιξάμενοι M.
1425. καὶ ἄλλαις οἰκονομίαις BAK αὐτὰ BA Lb. ταὐτὰ K.
1426. πεπ. om. BKE Lb. ; surpointillé A. — συμπ. δὲ μᾶλλον τοῦτο πεποιήκασι E Lb. (Les 3 derniers mots écrits, dans E, de la même main que Lb.) (Voir le morceau suivant).

1.3.3 6. — 3. ΤΙΣ Η ΤΩΝ ΑΡΧΑΙΩΝ ΔΙΑΦΩΝΙΑ.

Suite du texte précédent. — Chapitre 14 *dans* E, 15 *dans* Lb, *de la compilation du Chrétien.*

Τοῦτο δὲ μᾶλλον πρὸς συμπάθειαν πεποιήκασιν ὅπως μὴ ὁ εὑρίσκων φθονήσας τοῖς ἀνθρώποις ἐξαφανίσῃ τὴν βίβλον, καὶ τὸ κηρίον τῆς ἐπιστήμης ἀπολεῖται. Τούτου γὰρ ἁλόντος ἡ σύμπασα[1427] συναλίσκεται τέχνη, κατὰ τὸν σοφώτατον Ζώσιμον.[1428]

Ἐντεῦθεν πολλὴ κατέλαβεν ἀπορία τοὺς ἐντυγχάνοντας · ἑνὸς γὰρ[1429] ὄντος κατὰ ἀλήθειαν τοῦ φυσικοῦ τε καὶ γενικοῦ ὕδατος, καὶ μιᾶς τέχνης, τουτέστιν τὰς οἰκονομίας αὐτοῦ πολλὰς εὑρίσκοντες ἄνθρωποι.[1430] Τούτου δὲ ἐπλανήθησαν αἰδοῖ καὶ πίστει κατεχόμενοι τῶν βίβλίων, καὶ μηδὲν ὅλως ἀνύσαντες, ἐξ ἀνάγκης τὰς γραφὰς ἐλοιδόρησαν ἅμα[1431] τῇ τέχνῃ καὶ τοῖς διδασκάλοις. Οὔτε οὖν οἱ διδάσκαλοι κατὰ τὸν οἰκεῖον σκοπὸν αἴτιοι τῆς πλάνης γεγόνασι τοῖς νέοις, οὔτε οἱ νέοι μὴ εὑρόντες ἠδίκησαν, τοὺς παλαιοὺς λοιδορήσαντες · μεγάλη γὰρ ἐστι θεὸς Ἀνάγκη, κατὰ τὸν ποιητικὸν μῦθον.[1432]

1427. κηρίον] κύριον A par correction, d'une encre plus pâle. Une main en marge, de cette même encre ; κύριον KE Lb. — ἀπόλλυται BAKE ; ἀπολεσθῇ Lb. F. l. ἀπόληται. — ἁλῶντος M.

1428. Après Ζώσιμον] ἐπὶ τῷ φθόνῳ τὴν τέχνην ἀπέκρυψαν add. AEK Lb.

1429. Après τοὺς ἐντυγχ.] τοῖς βίβλοις add. Lb.

1430. τουτέστιν om. B etc. Il faudrait μέντοι γε α ... εὕρισκον. — εὑρίσκουσι E par corr. Lb.

1431. μὴ δὲν M.

1432. Aristote, Génération des Animaux, 5, 8 : Δημόκριτος ... πάντα ἀνάγει

2. Τί οὖν ἔδει ποιεῖν τὸν φιλαληθῆ Ζώσιμον φιλανθρώπως γράφειν ἐθέλοντα, ἢ διαστέλλειν τῶν πάλαι τὰς ἐκδόσεις καὶ τὸ ἀσύμφωνον[1433] αὐτῶν εἰς συμφωνίαν ἄγειν καὶ διαρρή- (f. 102 r.) δην βοᾶν, ὅτι τὸ κοινῶς μὲν ἅπαντες τὸν κεκρυμμένον τῆς μιᾶς ἐπιστήμης ἐναπέθετο νοῦν[1434] τοῖς οἰκείοις συγγράμμασιν, μυθικώτερον δὲ τοὺς καταλόγους τῶν εἰδῶν συνεγράψατο, τοὺς νοήμονας ἅμα καὶ ἀνοήτους ὡς ἔνουν διαστείλαντες.[1435] Οὐ γὰρ πάντα ἡ σύνεσις, οὐδὲ πάντες χωροῦσιν τὴν ἐπιστήμην ἀκούειν[1436] ἁπλῶς. Οἱ δὲ πλείους καὶ γελῶσι περὶ ταύτης, ἀκούοντες τὴν ἀλήθειαν.

3. Τοιγαροῦν καὶ ἡμεῖς συμφώνως τῷ Πανοπολίτῃ κινούμενοι,[1437] συμφώνως ἐκείνῳ δοξάσωμεν, περὶ δὲ τῶν διδασκάλων καὶ τῆς ποιήσεως ὑδάτων ἢ ὕδατος · ἓν γάρ ἐστιν ὕδωρ, ὡς ἔφημεν, γενικόν, τὸ[1438] συνεκτικὸν τῆς ἁπάσης ποιήσεως.

✶
✶✶

εἰς ἀνάγκην. Cp. Platon, Rép., p. 620 D et le commentaire de Proclus sur ce passage (Schœll et Studemund, Anecdota varia, t. 2, p. 120). Voir aussi Orphica, Argonaut., vers 12.

1433. διαστείλλειν M ; même faute, l. 10. — παλαιῶν B etc.

1434. ἐναπέθεντο B etc.

1435. συνεγράψαντο B etc. — ενουν M ; ἐνὸν B etc. Corr. conj.

1436. πάντα] εἰς πάντας B etc. — σύνεσις] σύνθεσις AKE Lb.

1437. τῷ πανοπολ.] Ζωσίμῳ add. E Lb.

1438. ὑδάτων] signe de l'eau de mer mss. excepté Lb, qui porte : τῆς ποιήσεως τῶν ὑδάτων ἢ τοῦ θείου ὕδατος ...

1.3.4 6. — 4. ΤΙΣ Η ΚΑΘΟΛΟΥ ΤΟΥ ΥΔΑΤΟΣ ΟΙΚΟΝΟΜΙΑ.

Suite du texte précédent. — Chap. 15 (n° biffé) *dans* E, 16 *dans* Lb, *de la compilation du Chrétien.*

1. Τὸ μὲν κατὰ τοὺς κεκρυμμένους τῆς ἐπιστήμης λόγους ὧν οὐκ[1439] εἰσὶν Αἰγύπτιοι ἱδρύες, τὸ ἀπὸ τεφρῶν ἐστιν ὕδωρ θείου πρωτόστακτον[1440] οἰκονομούμενον διὰ σήψεως καὶ ἀναγωγῆς λευκοῦ ἢ ξανθοῦ, ἢ ἑτεροῖον ὑπάρχον.[1441]

✶
✶✶

1.3.5 6. — 5. Η ΤΟΥ ΜΥΘΙΚΟΥ ΥΔΑΤΟΣ ΠΟΙΗΣΙΣ.

Suite du texte précédent dans les mss. autres que M. — *Chap.* 16 (n° omis) *dans* E, 17 *dans* Lb, *de la compilation du Chrétien.*

1. Τὸ δὲ λευκὸν ἢ ξανθὸν ἢ ἑτεροῖον ὑπάρχον τοὺς κενούς[1442] …

Viennent ensuite 8 lignes en blanc dans le ms. M. — *Reprise du texte avec le folio 103.*

1439. οὐκ om. B etc.
1440. εἰσὶν] ἔστιν M. — ἱδρυες B etc. F. l. ἱδρεις. — ὕδωρ θεῖον Lb.
1441. ἀγωγῆς E Lb.
1442. ὑπάρχει E ; οὐχ ὑπάρχει Lb. — τοῖς κενοῖς E Lb.

(f. 103 r.) Ἐπεὶ οὖν κατὰ τὸ ἐνδεχόμενον ταῖς διαφόροις ἐννοίαις[1443] συνηγόρους εὑρήκαμεν καὶ χρήσεις · οὐ ταὐτὸν δὲ μονὰς καὶ δυὰς, διότι[1444] ἡ μέν ἐστιν ἀρχὴ παντὸς ἀριθμοῦ, ἡ δὲ πλείους ἀρχὴ καὶ πρώτη κίνησις[1445] τῆς μονάδος, καὶ οἷον διχάς τις ὑπάρχουσα, ταύτῃ συμφωνεῖν τε χρεὼν[1446] ἀλλήλαις τὰς ἐννοίας ἅπερ ἐπὶ τῶν καλουμένων συνδέσμων οἱ διαζευκτικοι[1447] τὴν μὲν φράσιν ἐπισυνδέουσιν, τὴν δὲ διάνοιαν διαιροῦσιν · ἐπεί[1448] πως οἷόν τε ἅμα τοὺς αὐτοὺς διαλύειν τε καὶ δεσμεύειν · φέρε λοιπὸν[1449] ἑκατέρας λέξεως συντροχάσωμεν τὴν διάνοιαν. Εἰ γὰρ ἐπιστήμων ᾗ οὐ[1450] δύναται μάχεσθαι, πολλῷ μᾶλλον οὔτε αὐτὸς ἑαυτόν. Ἀναπτύξωμεν[1451] οὖν ἑκάστης λέξεως τὴν ἔννοιαν, ὅτι τοῦτο « τὸ ἓν » τριττὴν ἔχει καὶ οὐ[1452] μοναχὴν σημασίαν, κατηγορούμενον γένους, καὶ εἴδους, καὶ ἀριθμοῦ.[1453] Γένος μὲν γάρ ἐστιν παντὸς ζώου · εἶδος δὲ πάλιν ἕν ἐστι παντὸς ἀνθρώπου[1454] · ἀριθμῷ δὲ εἷς ἐστιν ὁ

1443. γοῦν B etc. — κατὰ τὸ ἐνδεχ.] ἐνδεχ. ἐστι E par corr. Lb.
1444. εὕρομεν BAKE. — Réd. de Lb : ταῖς διαφ. ἐνν. περὶ τοῦ θείου ὕδατος ἀμφισβητεῖν, συνηγόρους ...
1445. πλείους] πλείονων B etc.
1446. χρεὸν M.
1447. ἅπερ] καθάπερ Lb.
1448. διάνοιαν] ἔννοιαν B etc.
1449. πῶς mss.
1450. Au-dessus de συντροχ.] διαδράμωμεν E ; συν biffé puis διαδράμωμεν Lb. — εἰ γὰρ τις ... E Lb. — ᾗ] ὢν B etc. — F. l. ἐπιστήμονι.
1451. ἄλλοις μάχεσθαι E Lb. — πολῶ M. — ἑαυτοῦ BAK ; ἑαυτοῦ ῶ E ; ἑαυτῷ Lb, f. mel.
1452. M mg. : ὡρ < αῖον. >
1453. κατηγ. κατὰ τοῦ γένους, καὶ κατὰ τοῦ ε., καὶ κατὰ τοῦ ἀρ. Lb.
1454. ἐστιν] ἕν ἐστι E Lb.

καθέκαστος βοῦς, ἢ ἵππος, ἢ ἄνθρωπος.[1455] Καὶ ἐπείπερ οὐ γέγραφεν ἑνὸς τῷ ἀριθμῷ τὸ ἀβύσσαιον ὕδωρ, οὔτε μὴν τῷ[1456] εἴδει ἢ τῷ γένει δυνατόν ἐστιν ἐφ' ἕκαστον αὐτῶν ἐρείδειν ἡμᾶς τὴν διάνοιαν, ἀλλὰ τῷ μὲν ἀριθμῷ λέγειν ἓν παντελῶς, ἀδύνατον. Οὔτε[1457] γὰρ τῷ αὐτῷ δύναται ξανθόν τε καὶ λευκὸν καὶ μέλαν. Ὥσπερ οὐδὲ τὸν[1458] αὐτὸν ἄνθρωπον εἶναι δυνατὸν μέλανα καὶ λευκὸν καὶ σιτόχροον, ἢ τὸν[1459] Αἰθίοπα καὶ Σκύθην καὶ Ἀθηναῖον, οὕτως οὔτε αὐτῷ τῷ ὕδατι ἐν ταῖς[1460] μυρίαις κα- (f. 103 v.) ταριθμῶν τάξεσιν ἐνδέχεται ὑπουργεῖν. Ὁμοίως[1461] δὲ καὶ τῷ εἴδει ἑνὸς ἐπί τε λευκοῦ καὶ μέλανος καὶ ξανθοῦ συνθέματος[1462] ἀδύνατον, πολλῆς οὔσης τοιαύτης τῶν εἰδῶν ἑτερότητος, μάλιστα ἐπὶ[1463] τοῦ ἀθίκτου καὶ διασβέστου καὶ ἀπολελυμένου · ἢ τοίνυν ὥστε λέγειν[1464] αὐτὸν ὡς τὸ ἓν εἶναι τῷ ἀριθμῷ, τῶν ἀδυνάτων ἐστιν. Ὁμοίως δὲ καὶ τὸ[1465] ἓν ὡς τῷ εἴδει ἀμήχανον ἐνδεῶς, πάντως ἀνάγκη ὁμολογου-

1455. ἀριθμὸς Lb. — καθ' ἕκαστος AK ; καθ' ἕκαστον τυχὸν E par corr. Lb. — καὶ ἐπ. οὐ γέγρ.] οὐ γέγρ. δὲ Lb.
1456. ἑνὸς] ἓν E Lb. — ἐναβύσσαιον Lb, mg. : 71, 63 (Renvoi à 6, 5, 6, et 7, 2.)
1457. τὸ μὲν AD Lb.
1458. τὸ αὐτὸ B etc., mel. — δύναται εἰναι. — ὥσπερ δὲ οὔτε Lb.
1459. μέλαν M. — σιτόχρωον M.
1460. σκύθον M. — αὐτὸ τὸ ὕδωρ Lb.
1461. κατὰριθμῶ AK ; καταριθμῶ E ; καταριθμούμενον Lb. F. l. κατ' ἀριθμὸν. — ὑπουργεῖν τῇ τέχνῃ E Lb.
1462. τῷ εἴδει] τὸ εἶδος Lb. — ἑνὸς] F. l. ἑνὶ.
1463. ἀδύνατον ὑπουργεῖν E Lb.
1464. ἀθήκτου M. — δι' ἀσβέστου B etc. — ἢ] ἢ BAK ; εἰ E Lb.
1465. εἶναι souligné, et au-dessus : ἕν ἐστι E ; ἕν ἐστι Lb. — τοῦτο τῶν ἀδ. ἐ. Lb.

μένως ἕν[1466] ἐστιν τῷ γένει τὸ θεῖον ὕδωρ, τῷδε τῷ γένει ἓν καὶ τῷ εἴδει, πλεῖόν[1467] ἐστιν τῷ ἀριθμῷ.

2. Καλῶς ἔφησεν ὁ Ζώσιμος · « Τὸ ἓν ὕδωρ δύο μονάδας ὡς[1468] συνθέτους συνερχομένας ἀλλήλαις. Οὕτω γὰρ καὶ ὁ θεῖος ἔφησε[1469] χρησμός · « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν. » Προσεπάγει ὁ συγγραφεὺς · « Ἄρσεν καὶ θῆλυ ἐποίησεν[1470] αὐτούς. » Ὥσπερ γὰρ ἐν τῷ ἀριθμῷ ἢ τῷ εἴδει ἀδύνατόν ἐστιν πᾶν ὕδωρ θειῶδες καὶ ἀσφαλτῶδες, νιτρῶδες τε καὶ ἁλιῶδες καὶ πότιμον[1471] ἐν τοῖς ὑπὸ σελήνην τὸ ἐν ποταμοῖς ἀέννααον, χειμάρροις τε καὶ λίμναις καὶ θαλάσσαις καὶ κρήναις καὶ νέφεσιν, καὶ αὐταῖς τῷ γένει εἶναι,[1472] τῷ εἴδει πολλαχῶς ἔχει διαφορὰς καὶ τῷ ἀριθμῷ τὸ ἄπειρον πάντως,[1473] οὕτω κἀνταῦθα τὸ ἀπὸ τῆς ὀρνιθογονίας ἐξιωμένον ὕδωρ τῷ γένει ὑπάρχον ἓν,[1474] τοῖς εἴδεσι διενήνοχεν, λευκῷ φημι,

1466. ὡς] ὡς ἓν E Lb. — ἐνδεῶς — ἕν ἐστιν] Réd. de E : ἐνδεῶς ἐστι παντός ἀνάγκη, ἕως τοίνυν ὁμολογοῦμεν ἓν εἶναι. Réd. de Lb : ἀμήχανόν ἐστιν · ἀναγκαίως τοίνυν ὁμολογοῦμεν ἓν εἶναι. — ἕν ἐστιν] ἓν εἶναι BA.

1467. τῷδε] τὸ δὲ B etc.

1468. καλῶς ἔφησεν ὁ Ζώσιμος] καὶ ὡς ἔφησεν ὁ φιλόσοφος Ζώσιμος E Lb. — ἔφησεν ὁ φιλόσοφος (Ζώσιμος omis) BAK.

1469. ἀλλήλαις ποιεῖ E Lb.

1470. καθ' ὁμοίωσιν A, comme dans la Genèse, 1, 26 ; καθ' ὁμοίωσιν ἡμετέραν KE Lb. — καὶ προσεπάγει B etc.

1471. ἁλιῶδες] ἁλῶδες B etc. — F. l. ἁλμῶδες.

1472. κρίναις M. — τὸ μὲν γένει ἓν εἶναι E ; τῷ μ. γ. ἓν εἶναι Lb. — τῷ (δὲ biffé) γὰρ εἴδει E ; τῷ γὰρ εἴδει Lb.

1473. διαφορὰς] κατὰ τὰς διαφορὰς E Lb. — καὶ τοῦ ἀριθμοῦ τὸ ἄπειρον E ; καὶ τὸ ἄπειρον πάντως τοῦ ἀριθμοῦ Lb. — Les mots τῷ γὰρ — τοῦ ἀρ. entre parenthèses dans Lb. — ἄπυρον BAK.

1474. ὀρνιθογωνίας M. — τῷ γένει] τὸ μὲν γένει Lb. — ὑπάρχονει E ;

καὶ μέλανι, καὶ πυρώδει.[1475]

3. Οὐκ ἀφίησιν Ἑρμῆς βοτρυχίτης πυρῶσαι λευκὰ εἴδη τοῦ βοτρυχίτου.[1476]

4. Ταῦτα εἶπον · ἀριθμῷ δὲ πλεῖον μηκύνεται, ὁμοίως καὶ τῶν εἰρημένων ἕκαστον.[1477]

5. Τῇ λειπομένῃ ἐν (f. 119 r.) τῷ πατελλίῳ τέφρᾳ μιγνυμένου μετὰ[1478] κάθαρσιν τε καὶ πλύσιν διχάζεται, καὶ ποιεῖ τὰς δύο συνθέτους μονάδας,[1479] τήν τε ἰωμένην καὶ τὴν ὁμοτερίζουσαν, αἵ τινες συνερχόμεναι λείωσει τε[1480] καὶ σήψει κατέχουσιν ἀλλήλαις τῇ συνμίξει, καὶ τὸ Πᾶν κατεργάζονται.[1481]

6. Διο καὶ μᾶλλον ἔξεστι λέγειν ὡς τὸ μὲν ἐναβύσσαιον ὕδωρ τὸ ἀπὸ[1482] τῆς λοπάδος ἐστὶν ἀνασπώμενον, αἱ δὲ δύο σύνθετοι μονάδες αἱ συνερχόμεναι ἀλλήλαις τὰ δύο τοῦ συνθέματος ὑπάρχουσι μέρη, τό τε ἄσηπτον, τὸ στερεὸν,

ὑπάρχει Lb.

1475. τοῖς δὲ εἴδεσι E Lb. — F. l. πυρρώδει.

1476. καὶ οὐκ ἀφ. E ; οὐκ ἀφίησιν τοίνυν Lb. — Ἑρμῆς] Signe de Ἑρμῆς et de κασσίτερος MBAK ; τὸν même signe E ; τὸν Ἑρμῆν Lb. — βοστρυχτ B ; βοστρυχίτην AK ; τὸν βοστρυχίτην E Lb. — F. l. πυρρῶσαι. — βοστρυχίτου B etc.

1477. ταῦτα εἶπον] καὶ ταῦτα ἐν βραχέσι εἶπον E Lb. — μὴ κύνεται M. — ὁμοίως δὲ καὶ E Lb.

1478. ἐν τῇ λειπ. E Lb. — ἐν] Dernier mot du fol. 103 de M et de son cahier 12. La suite est à la ligne 1 du cahier 15. — μιγνύμενον E par corr. Lb.

1479. πλύνσιν B etc.

1480. ὁμοεταιρίζουσαν Lb.

1481. ἀλλήλας B etc.

1482. M mg. à l'encre noire, sur une ligne verticale : πυκλνολ (?). — ἐνάβύσσ. MB ; ἓν ἀβύσσαιον AKE. Lb mg. : 57, 71 (Renvoi à 6, 5, 1 et 7, 2.

καὶ τὸ σεσηπὸς ὑγρὸν, τὸ ἐκ τῆς χύτρας διὰ τοῦ ὀργάνου λειφθὲν, μετὰ τὸν τεταγμένον τῆς ἰώσεως χρόνον. Ἔνθεν ἡ Ἑβραία[1483] προφῆτις ἀνυποστόλως ἐκραύγαξεν · « Τὸ ἓν γίνεται δύο, καὶ τὰ δύο[1484] γ′ · καὶ τοῦ γτου τὸ ἓν τέταρτον · ἐν δύο ἕν. » Ὅρα πῶς ἓν μᾶλλον τῷ[1485] γένει καὶ οὐ τῷ εἴδει ἢ τῷ ἀριθμῷ · ἀπὸ γὰρ τοῦ ἑνὸς προῆλθεν τὸ δύο[1486] ἢ τὸ τρία, ἅ τινα πάλιν εἰς μονάδα συστέλλονται. Διὸ καὶ προσεπάγει[1487] πάλιν « τὸ ἓν, » ἀναδιπλασιάσασα τὴν φωνήν. Ταύτῃ δὲ κατακολουθήσας[1488] καὶ Ζώσιμος ἔλεγεν · « Πάντα γὰρ ἐκ μονάδος προέρχεται καὶ[1489] εἰς μονάδα καταλήγει, » τὴν γενικὴν πρῶτον εἰπὼν μονάδα, εἰς τὸ κατ' ἀριθμὸν ἔληξεν,[1490] τὴν τελείωσιν τοῦ ξηρίου σημάνας.

✶

✶✶

1483. ληφθὲν B etc. f. mel.
1484. προφήτης M. (Marie la Juive ?). — ἐκρ. λέγουσα E Lb.
1485. ἓν δύο ἓν E. — τὸ γένει E.
1486. τὰ δύο ἢ τὰ τρία B etc.
1487. προσεπάγη M.
1488. κατὰ τὴν φ. E Lb.
1489. Ζώσιμος] ὁ φιλόσοφος BAK : ὁ φιλόσοφος Ζώσ. E Lb. — A mg. : Ζώσιμος.
1490. εἰς τὸ] signe de ἕως (?) MBAKE ; le même signe suivi de εἰς dans E ; εἰς τὸν Lb. — κατάριθμον MBAKE. Après ce mot, E ajoute le signe du mercure. — εἰς τὴν κατάριθμον ὑδράργυρον Lb.

1.3.6 6. — 6. ΑΝΤΙΘΕΣΙΣ ΛΕΓΟΥΣΑ ΟΤΙ ΤΟ ΘΕΙΟΝ ΥΔΩΡ ΕΝ ΕΣΤΙ ΤΩ ΕΙΔΕΙ, ΚΑΙ Η ΛΥΣΙΣ ΑΥΤΗΣ.

Transcrit sur M, f. 119 r. — *Collationné sur* B, f. 105 r. ;— *sur* A, f. 101 v. ;— *sur* K, f. 10 v. ;— *sur* E, f. 21 r. ; *sur* Lb, p. 65. — *Chapitre* 16 *dans* E (*n° omis*), 18 *dans* Lb, *de la compilation du Chrétien.*

1. Τινὲς δέ φασιν ἓν εἶναι τῷ εἴδει τὸ ὕδωρ, εἰς μέσον Δημόκριτον[1491] ἄγοντες λέγοντα · « Τὸ ἓν εἶδος ποιεῖ τὴν (f. 119 v.) τῶν πολλῶν ἐνέργειαν · ἐπεὶ καὶ τὰ πολλὰ ἑνὸς δεῖται τοῦ φυσικοῦ. » Καὶ πάλιν · « Τὸ γὰρ ἓν εἶδος διαφόρως οἰκονομηθὲν διαφόρους ἕξει τὰς ἐνεργείας. » Πρὸς οὓς ἐροῦμεν ὅτι καλῶς ὁ φιλόσοφος ἔγραψεν. Οὐ γὰρ περὶ τοῦ παντός ἐστιν ὁ λόγος αὐτῷ νῦν, ἀλλὰ κυρίως καὶ ἀληθῶς περὶ τοῦ ἑνὸς εἴδους. Δύναται γὰρ τὰ λευκὰ μόρια ... ˜ ν' ... ˜ ν[1492] ἠρέμα φλογὶ ἀναγόμενα λευκὸν ὕδωρ ποιεῖν, λευκαίνειν τε τὸ οἰκεῖον[1493] ὑπόλειμμα · καὶ τὸ αὐτὸ σηπόμενον μετὰ τῆς λευκανθείσης τέφρας, εἶτα καὶ ἐκμυζούμενον καθεκτικὸν τῆς βαφῆς ὑπάρχειν, σφοδροτέρᾳ[1494] τε καύσει προσομιλοῦντα ξανθὸν ὕδωρ ἀποτελοῦσιν πρὸς ξάνθωσιν ἐπιτήδειον. Καὶ τὸ αὐτὸ πάλιν ἰωποιούμενον κατέχει τὰ βάμματα.

2. Ἔνθεν ὁ Δημόκριτος τὸ λάβρον πῦρ ἀπηγόρευσεν ἐπὶ

1491. A mg. : B. F. (?).
1492. Après μόρια] τῶν εἰδῶν B etc. F. l. τῶν ὠῶν (*M. B.*).
1493. ἠρέμω (l. ἠρέμῳ) B etc. f. mel.
1494. F. l. ἐκμυζώμενον.

τῆς[1495] λευκώσεως εἰπών · « Ἀλλ' οὐ χρησιμεύει σοι νῦν · λευκάναι γὰρ βούλει τὰ σώματα. » Χρωννυμένων ὑπό τε τῆς ἀγχούσης καὶ τοῦ[1496] φύκους διχαζόμενον τε καὶ ἰούμενον, πορφύραν ἀήττητον βάπτειν[1497] ἐπίσταται μαργάρους τε, καὶ ἄνευ βαφῆς ὑπάρχον λευκόν τι,[1498] καὶ ἰούμενον μαλάττει, λύει καὶ πήγνυσιν ἐν χρυσοκόλλᾳ τοὺς πλείονας ὄντας μικροὺς ἐνκατεργαζόμενον, μέγιστον · χολὰς δὲ ἰχθύων ἢ ἑτέρων ζώων δεξάμενος ἐπὶ χρώματι ξηρὰς οὔσας, ἢ δρακόντιον[1499] αἷμα, ἢ ἄλλο ἕτερον εἶδος βάπτειν λίθους κρυστάλλους καθαροὺς[1500] ὄντας (f. 120 r.) ἐκ πάσης αἰτίας ποιοῦν σμαράγδους τε καὶ λυχνίτας,[1501] καὶ πλείονας ἑτεροειδεῖς ἐν χωνίοις δυσὶ κρυπτομένους ἐπ' ἀμφρακίων, ἄχρις οὗ πυρωθῶσιν, καὶ διψῶντες ῥοφήσουσιν τὸ βαφικὸν[1502] ὕδωρ ἐν λεκάνῃ ῥιφέντες.

1495. Avant ἔνθεν] Οὐ γὰρ — εἴδους B etc. (omis plus haut, p. précéd., l. 13).

1496. βούλει] δεῖ Lb. — χρωννύμενα γὰρ B etc. — ἀπὸ E Lb.

1497. διχαζόμενά τε καὶ ἰούμενα B etc.

1498. ἐπίστανται B etc. — καὶ ἄνευ βαφῆς — μέγιστον, l. 7] Réd. de Lb (en partie sur corrections de E) : Καὶ εἰ καὶ ἄνευ β. ὑπάρχουσι, ὅμως λευκαίνουσι καὶ ἰουμ. μαλάττουσι, λύουσι καὶ πηγνύουσι ἐν χρυσῷ, καὶ τ. πλ. ὅ. μ. ἐγκατεργάζονται μεγίστους.

1499. δεξάμενα Lb. — ἐπιχρωματίζει E ; ἐπιχρωματίζουσι Lb (après εἶδος).

1500. βάπτειν] καὶ βάπτουσιν Lb. — λίθους — πλείονας om. BAK ; restit. E (d'après K mg.) Lb, qui ajoutent, E : ἄλλους λίθους ; Lb : ἄ. ἑτέρ. λίθους. — κρουστάλους M.

1501. καὶ ποιοῦσι.

1502. ἐπαμφρακίων M ; ἐπ' ἀμφακίων BAKE 1re main ; ἐπ' ἀμβικίων E par corr. ; ἐπ' ἀμβυκίων Lb. F. l. ἐπ' ἀνθρακίων. La confusion du φ et du ϑ est connue. Cp. Bast, comment. palæogr., p. 525. — ῥοφήσωσιν B etc. — βαπτικὸν B etc.

3. Ὁμοίως δὲ καὶ ἡ λέκιθος πρὸς τὸ πλῆθος ἢ τὴν ὀλιγότητα[1503] τοῦ πυρὸς, διὰ τῶν ἀμβύκων ξανθὸν ἢ λευκὸν ἀφίησιν ὕδωρ, καὶ πάσας τὰς εὑρημένας ἐνεργείας, κάλλιον καὶ μονιμώτερον ἀπεργάζεται.[1504] Οὐκοῦν οὐ περὶ γενικοῦ ὕδατός ἐστιν ὁ λόγος ἐνταῦθα τῷ φιλοσόφῳ, ἀλλὰ περὶ τοῦ εἰδικοῦ λέγοντι · « Τὸ γὰρ ἓν εἶδος διαφόρως οἰκονομηθέν ... » καὶ τὰ ἑξῆς. Ζώσιμος Δημοκρίτῳ ἐγκωμιάζων[1505] βοῶντα τοῖς νέοις, ἔλεγεν οὕτως · « Τί ὑμῖν καὶ τῇ πολλῇ ὕλῃ, ἑνὸς ὄντος τοῦ φυσικοῦ, οὐχὶ εἴδους, ἀλλὰ ὕδατος ; » Ὁ δὲ[1506] τοῦτον ἀποδεχόμενος καὶ τὰς αὐτοῦ τροχιὰς βαδίζειν ἐθέλων ἀεὶ,[1507] πῶς ἐναντιοῦτο πρὸς λέξιν, εἰπών · « Οὐχὶ εἴδους » ἐκείνου φάσκοντος[1508] « εἴδους » εὔδηλον ὅτι Δημόκριτος μὲν εἶδος ἔλαβεν τὸ[1509] προϊὸν ἐκ τοῦ γένους, Ζώσιμος δὲ τοὺς νέους ἐκ τοῦ ὑλικοῦ μετατάττειν εἴδους ἠπείγετο.

✶

✶✶

1503. πρὸς τὸ πλέον ἢ ἔλαττον B etc. — M mg. : ὅλον ὡραῖον.
1504. εἰρημένας E Lb.
1505. Ζώσιμος — βοῶντα] Réd. de BAK : ὥσπερ δῆτα καὶ οἱ ἐγκωμιάζοντες Δημόκριτον βοῶντα. Réd. de E. : Ζώσιμος Δημόκριτον ἐγκωμ. Réd. de Lb : ὃ δὴ Ζώσ. ἐγκωμιάζει τὸν Δημόκριτον τὸν λέγοντα τοῖς νέοις οὕτως.
1506. οὐχ M.
1507. τοῦτο B etc. — τροχίας M.
1508. πῶς ἂν ἠνιαντιοῦτο τῷ διδασκάλῳ πρ. λέξιν εἰπόντι E Lb.
1509. εὔδηλον οὖν E Lb.

1.3.7 6. — 7. ΑΛΛΗ ΑΠΟΡΙΑ.[1510]

ΤΟ ΕΝ ΑΒΥΣΣΑΙΟΝ ΥΔΩΡ ΕΝ ΤΩ ΑΡΙΘΜΩ ΔΕΙΚΝΥΕΙΝ ΕΘΕΛΟΥΣΑ. Η ΤΟΥΤΟΥ ΕΠΙΛΥΣΙΣ[1511]

Suite du texte précédent. — Chapitre 17 *dans* E, 19 *dans* Lb, *de la compilation du Chrétien.*

1. Ἕτεροι δέ φασιν ὅτι πολυσύνθετόν ἐστιν τὸ ὕδωρ, ἀπὸ δύο[1512] μονάδων συνθέτων γινόμενον · ὡς πάντα (f. 120 v.) τὰ φυσικά τε καὶ τεχνικὰ πράγματα, πλοῖον, εἰ τύχοι, καὶ οἶκος, ὡς καὶ ὁ κόσμος[1513] εἷς ἐστιν τῷ ἀριθμῷ, ἐκ πολλῶν συνιστάμενος. Διὸ καί φησιν Ἑρμῆς ὅτι πολλὰ ὄντα ἓν λέγεται. Φάσκουσιν δὲ καὶ τοῦτο πρὸς συνηγορίαν τοῦ λόγου τοῦ αὐτῶν οὕτως · « Τῷ ἀριθμῷ ἓν τριττὴν ἔχει[1514] τὴν σημασίαν · » λέγεται γὰρ ἓν τῷ ἀριθμῷ τὸ κατὰ συνέχειαν, ὡς τὸ δεκάπηχυ ξύλον, ὅπερ διὰ τὴν τῶν μορίων συνέχειαν ἕν ἐστι[1515] κατ' ἐνέργειαν, δυνάμει δὲ πλείονα, διὰ τὸ ἐπ' ἄπειρον ἐνδεχομένως[1516] τοῦτο διαιρετὸν λέγεται. Πάλιν ἓν τῷ ἀριθμῷ ὁμωνύμως ὡς ὁ ἀστρῷος κύων,[1517]

1510. Ce qui suit les mots Ἄλλη ἀπορία fait partie du texte dans les mss.
1511. ἐν ἀβύσσαιον M ; ἓν ἀβύσσαιον BAK. Lb mg. : Renvoi aux p. 63, 57. — ἐθέλει E p. corr. Lb.
1512. πολὺ σύνθετον M. — ὑπὸ Lb.
1513. πλεῖον M AK. — τύχη M. — οἶκον MBAK.
1514. αὐτοῦ E Lb.
1515. τὸ δεκάπηχυ ξύλω M ; τῶ δωδεκαπήχει ξύλω BAK. τὸ δωδεκάπηχυ ξύλον ELb.
1516. ἐνδεχομένως δὲ E Lb.
1517. λέγεσθαι BAK. — διαιρετόν ἐστι · λέγεται δὲ E. Lb. — ὡς om. B etc.

καὶ ὁ θαλάσσιος, καὶ ὁ χερσαῖος · μίαν γὰρ ἔχουσι προσηγορίαν οἱ τρεῖς · ὁμοίως ἓν τῷ ἀριθμῷ ἐστιν καὶ ὄνομα.[1518] Καὶ ἔστιν τὸ ἁπλοῦν καὶ ἀσυνδύαστον, ὡς ἓν πνεῦμα, καὶ ψυχὴ μία,[1519] καὶ ἄγγελος εἷς.

2. Τὸ τοίνυν θειότατον ὕδωρ τῆς τέχνης, ὅπερ « ἀβύσσαιον[1520] » καλεῖται παρὰ τοῦ διδασκάλου ἕν ἐστιν κατὰ συνέχειαν, σύνθετον ἐκ δύο μονάδων, καὶ οὐχ ἁπλοῦν · ὅπερ οὐκ ἀγνοῶν ἔλεγεν ὁ Ἑρμῆς ὅτι, πολλὰ ὄντα, ἓν λέγεται, ὡς δυναμένον εἰς πλείονα τῷ εἴδει[1521] καὶ τῷ ἀριθμῷ διαιρεῖσθαι, ὡς ὁ κόσμος εἷς ἐστιν. Καὶ οὐχὶ τούτοις[1522] οὐκ ἀκολουθεῖν χρεὼν ἡμᾶς τοὺς ἐθέλοντας μυστικῶς, καὶ οὐ μυθικῶς[1523] διδάσκεσθαι τὴν ἀλήθειαν. Οὐ γὰρ οἷόν τε τὸ αὐτὸ ὕδωρ εἶναι[1524] καὶ ξανθὸν ἅμα καὶ λευκὸν καὶ μέλαν, ὥσπερ οὐδὲ τὸν αὐτὸν ἄνδρα λευκὸν ἅμα καὶ μέλανα καὶ φαιὸν, ἢ ἄλλο χρῶμα.[1525]

3. Ἀλλ' οὐδὲ τὸ ἓν σύνθετον ἐνδέχεται, (f. 121 r.) πλείονά τε ἅμα εἶναι καὶ ἕν · Ἰδοὺ γὰρ ἄνθρωπος ἕκαστος, σύνθετος ὢν ἐκ ψυχῆς λογικῆς καὶ τοῦ σώματος, ἕνα τὸν ὁρισμὸν ἔχει καὶ οὐ πολλοὺς,[1526] ὅθεν οὐ δύναται πλεῖον εἷς τε ἅμα καὶ εἷς · ἢ γὰρ ἂν καὶ[1527] πλείονας ἔχει τοὺς ὁρισ-

1518. ὁμοίως τοίνυν E Lb. — ὄνομα] ὀνομάζεται E p. corr. Lb.
1519. τὸ om. E par corr. Lb.
1520. Lb mg. : 71, 63, 57. — ἐναβύσσαιον Lb par corr.
1521. εἰς om. M. — τὰ εἴδη E Lb.
1522. τούτους M.
1523. χρεὸν M.
1524. τῶ αὐτῶ signe de ὕδωρ M.
1525. μέλαν M.
1526. τοῦ om. B etc. — ἵνα AK.
1527. εἷς τε] εἶναι BAK mel. — πλείονες ἅμα καὶ εἷς E p. corr. ; οὐ δύνανται

μοὺς, διότι ἑκάστη φύσις τὸν ἑαυτῆς ἔσωζεν [1528] ὁρισμόν. Εἰ γὰρ καὶ πλείονά εἰσιν τὰ μέρη τῶν συνθέτων, ὅθεν συνάγονται [1529] καὶ ἴσα καὶ δύνανται διαιρεῖσθαι πολλάκις. Ἀλλ' ἕκαστον [1530] αὐτῶν μετὰ σύνθεσιν ἕν ἐστι καὶ οὐ πλείονα. Εἰ δὲ πλείονα εἴη, οὐκέτι εἴη τὸ σύνθετον · εἰ γὰρ ἀναλύσεις τὸν αὐτὸν ἄνθρωπον [1531] εἰς σῶμα καὶ ψυχὴν καὶ τὰ ἐξ ὧν συνετέθη, οὐχ εὑρήσεις ἔτι τὸν [1532] ἄνθρωπον · οὐδὲν γὰρ ἐξ αὐτῶν καθ' αὐτὸ πέφυκεν ἄνθρωπος. [1533]

✶

✶✶

1.3.8 6. — 8. ΤΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ΣΥΝΟΨΙΣ.

ΤΙΣ Η ΑΙΤΙΑ ΤΗΣ ΠΡΟΚΕΙΜΕΝΗΣ ΣΥΓΓΡΑΦΗΣ

Transcrit sur M, f. 121 r. — *Collationné sur* B, f. 107 r. ;— *sur* A, f. 103 r. ;— *sur* K, f. 11 v. ;— *sur* E, f. 24 r. ;— *sur* Lb, p. 77. — *Chap.* 18 *dans* E, 20 *dans* Lb, *de la compilation du Chrétien.*

πλείονες εἶναι ἅμα κ. εἷς Lb. — καὶ γὰρ ἂν E Lb.

1528. εἶχε E Lb.

1529. ὁρισμὸν καὶ ἀριθμὸν Lb.

1530. ἴσα] εἰς ᾶ E Lb, f. mel. — πολλάκις εἰς ἄλληλα ὅμως ἕκαστον E ; εἰς ἄλλα ὅμως ἕκαστον Lb.

1531. οὐκέτι εἴη τὸ σύνθετον] οὐκ ἔστιν αὐτὸ σύνθετον B etc. — εἰ] ἐνι M. — ἐὰν γὰρ ἀναλύσῃς B etc.

1532. οὐχ] οὐκέτι Lb.

1533. κατ' αὐτὸ Lb.

Πολλάκις ὑμῖν ἐφόδοις ἐν τοῖς προτέροις σπουδάσμασιν ὁ περὶ τῆς[1534] θείας ἐπιστήμης διήνυσται λόγος, διὰ τὸ δύσληπτον καὶ ἀκαταγώνιστον εἶναι τί χρῆμα σχεδὸν πᾶσιν ἀνθρώποις τὸ δράξασθαι τῆς ἐντίμου καὶ ἀρίστης φιλοσοφίας ἣν οἱ παλαιοὶ καὶ ἐχέφρονες εἰς ἕνα καὶ τὸν αὐτὸν συναγείροντες [τὸν] νοῦν, εὑρίσκουσι τὸ ποθούμενον · οὐ μόνον δὲ τοῦτο,[1535] ἀλλ' ὅτι καὶ τῶν πάλαι σοφῶν ὁ θεσμὸς ἐνικωτάταις αἰτίαις ῥᾳδίως ἀπὸ[1536] τῆς ἀληθοῦς ὕλης γνωσθήσονται τῆς ἀπὸ χηνείων ὠῶν καὶ τῶν κατοικιδίων[1537] ὀρνίθων.[1538]

✳
✳✳

1.3.9 6. — 9. ΟΤΙ (f. 121 v.), ΤΕΤΡΑΧΩΣ ΔΙΑΙΡΟΥΜΕΝΗΣ ΤΗΣ ΥΛΗΣ, ΔΙΑΦΟΡΟΙ ΑΠΟΓΙΝΟΝΤΑΙ ΤΩΝ ΠΟΙΗΣΕΩΝ ΑΙ ΤΑΞΕΙΣ.[1539]

ΤΩΝ ΟΙΚΕΙΩΝ ΜΕΡΩΝ, ΠΟΤΕ ΜΕΝ ΔΙΧΑΖΟΜΕΝΩΝ, ΠΟΤΕ ΔΕ ΣΥΜΠΛΕΚΟΜΕΝΩΝ ΑΛΛΗΛΟΙΣ[1540]

1534. πολλαῖς ἡμῖν E p. corr. Lb.
1535. τὸν om. BAK.
1536. ὅτι] ἔτι E Lb. — παλαιῶν BAK. — νικωτάταις M. — αἰτίαις] ἐννοίαις BAK ; ἐννοίαις καὶ αἰτίαις E Lb. — E mg. : *alias* αἰτίαις.
1537. Après γνωσθήσονται, la suite a été grattée dans M.
1538. Après ὀρνίθων, E continue, sans ponctuation, avec le morceau suivant. Lb avec un simple point.
1539. ὅτι] L'initiale en blanc B ; ἔτι AK. — τῆς ὕλης διαιρ. B etc.
1540. ἀλλήλαις E p. corr. Lb.

Suite du texte précédent. — Les mots qui forment le titre dans M (BA ?) K mg *font partie du texte courant dans* E Lb.

1. Τῆς εἰς τέσσαρας μοίρας διαιρουμένης,[1541] ὄστρακόν φημι καὶ ὑμένα, λευκόν τε καὶ ξανθὸν, εὐλόγως αἱ[1542] διάφοροι ἀπεκυήθησαν τάξεις, γενικαί τε καὶ εἰδικαί. Καὶ καθ' ἕκαστα[1543] μὲν γὰρ τῇ ἀρχῇ διαιροῦσιν εἰς τὴν τῶν ὑγρῶν ἐκ τῶν στερεῶν τῇ διὰ[1544] τῶν ἀμβύκων ποιήσει τῶν ὑδάτων. Ἔπειτα ἡ ἕνωσις αὐτῶν ἐν τῇ[1545] θυείᾳ · καὶ πάλιν ἐν ταῖς πλύσεσι χωρισμὸν, ἕως οὗ φύγῃ, κατὰ[1546] Δημόκριτον, τοῦ στίμμεως ἡ μελανία, μετὰ δὲ ταῦτα, τὰ μέρη · καὶ[1547] τότε διχάζεται τὸ πᾶν γενόμενον φάρμακον οὐκέτι εἰς τὰ οἰκεῖα μέρη, καθάπερ τὸ πρότερον διαιρούμενον. Τοῦτο γὰρ πάντη ἀδύνατον γενέσθαι μετὰ τὴν σύνθεσιν ἐκ τῆς ἐμπλαστρώδους ἰώσεώς τε καὶ μίξεως ἀμφοτέρων.[1548]

2. Εἶτα τοῦ φαρμάκου τὸ ἥμισυ πλείοσιν ὑγροῖς συνενούμενον ὡς εἰ[1549] κ° τῇ γ° ποιεῖ τὸ καλούμενον χρυσοζώμιον ἢ ἀργυροζώμιον ἢ μελάνθιον, ὅπερ τὸ ἀλλὸ ἥμισυ περιπλακὲν ταῖς ἄγαν λειώσεσιν, ἀποτελεῖ τὸ[1550] ζητούμενον ·

1541. Après τῆς] espace blanc M ; τῆς ὀρνιθογονίας εἰς τέσσαρας ... B etc. Cp. le morceau qui suit, 1re phrase.
1542. εἰς ὄστρακον Lb. — αἱ] καὶ BAK ; καὶ γὰρ E ; γὰρ Lb.
1543. Les mots καὶ καθ' ἕκ. — ἐν τῇ θυείᾳ entre guillemets Lb.
1544. διαιροῦνται ἐν τῇ ἀρχῇ Lb.
1545. Après ὑδάτων] διαίρεσιν suppl. Lb.
1546. Après θυείᾳ] γίνεται suppl. Lb. — E mg. : une main. — πλύνσεσι B etc. — χωρισμοῦ B (?) AK ; τοῦ χωρισμοῦ E Lb. F. l. χωρισμὸς.
1547. Après μέρη] διαιροῦνται suppl. E Lb.
1548. τὴν ἐκ τῆς ἐμπλ. E Lb.
1549. M mg. : ὧδε. — συνενουμένου E Lb.
1550. ὅπερ] ὥσπερ E Lb.

κἀντεῦθεν ἐφάνησαν τὰ ἐκ τῶν διαιρέσεων σκέλη, καὶ τὰ μέρη τῆς ὕλης ἀναγκαίως μεθαρμοζόμενα.

✶

✶✶

1.3.10 6. — 10. ΠΟΣΑΙ ΕΙΣΙΝ ΑΙ ΚΑΤ' ΕΙΔΟΣ ΚΑΙ ΓΕΝΟΣ ΔΙΑΦΟΡΑΙ ΤΩΝ ΠΟΙΗΣΕΩΝ.

Transcrit sur M, f. 122 r. — *Collationné sur* B, f. 108 r. ;— *sur* A, f. 103 v. ;— *sur* K, f. 12 r. ;— *sur* E, f. 25 r. ;— *sur* Lb, p. 83. — *Chap.* 21 *de la compilation du Chrétien dans* Lb.

1. Τετραμεροῦς ὑπαρχούσης τῆς ὕλης, ὡς ἔφημεν, τῶν τάξεων λοιπὸν, αἱ μὲν ἐκ τοῦ παντὸς συνετέθησαν, αἱ δὲ ἀπὸ τῶν τριῶν τούτων μοιρῶν, αἱ δὲ ἀπὸ τῶν δύο μόνον, αἱ δὲ ἀπὸ μέρους ἑνός εἰσιν. Καὶ τούτων αἱ μὲν ὡς ἀπὸ ὕδατος, ὑγροῦ σβεννυμένου σιδήρου, αἱ δὲ ὡς ἀπὸ ξηρῶν ὡς ἐπὶ τῶν ἰατρικῶν ξηρίων, αἱ δὲ σύνθετον ἔχουσι τὴν φύσιν, ὡς αἱ μολυντικαὶ τῶν ἐμπλάστρων, καὶ[1551] τὰ ἐπιχρίσματα καὶ τὰ ζωγραφικὰ πάντα. Καὶ αἱ μὲν ὡς διὰ πυρὸς[1552] ὀπτουμένων τῶν εἰδῶν ἢ ἀμβυκιζομένων, ἢ ἄλλως πως τῷ πυρὶ[1553] προσομιλούντων, ἢ τελείως ἄνευ πυρὸς λειουμένων, ἢ ἐξυδαρουμένων, ἢ ἐν ψυχροῖς ἀποτιθεμένων μετὰ τὴν ἔκλυσιν, ἢ κατὰ μετοχὴν[1554] ἀμφοτέρων λειουμένης τῆς ὕλης, καὶ ἐν

1551. F. l. μωλυτικαὶ ?
1552. διὰ] ἀπὸ B etc.
1553. ὀπτωμένων B. — πῶς MAKE.
1554. ἐναποθεμένων Lb. — ἔλκυσιν B etc.

ταῖς τοῦ χρυσοκόλλου[1555] φλογώσεσιν ξηραινομένης, ἢ ταριχευομένης αὐτόθι, σηπομένης τε πολλάκις, ἢ δι' ὀργάνου ἀνακομιζομένης ἐν ταῖς τῶν λόγων ἰόνθοις.[1556] Οὕτω γὰρ οὔτε πάντη κεχώρισται τοῦ πυρὸς διὰ τὰς πυροσχεδεῖς[1557] ἐνεργείας, οὔτε πυρὶ προσωμίλησεν.[1558]

2. Ἐκ μὲν οὖν τοῦ παντὸς θ′ γενικαὶ ἀναφαίνονται τάξεις, τρεῖς μὲν ἄνευ πυρὸς τὸ πᾶν ἀπαρτίζουσι σύνθεμα, ξηρὸν, ἢ ὑγρὸν, ἢ οὐδέτερον, τρεῖς δὲ μετὰ πυρὸς ὁμοίως ξηρὸν, ἢ ὑγρὸν, ἢ μέσον ἀποτελοῦσαι (f. 122 v.) τὸ φάρμακον, τρεῖς δὲ τῇ συνθέτῳ ποιήσει, ξηρὸν, ἢ ὑγρὸν, ἢ οὐδέτερον κατασκευάζουσαι σύνθεμα.[1559]

3. Ἐκ δὲ τῶν τριῶν τῆς ὕλης μορίων λ ΣΤ′ δείκνυνται γενικαὶ τάξεις[1560] ποιήσεων, δι' ὠμῶν, ἢ ἐφθῶν εἰδῶν, ἢ μέσων ἀπαρτιζόμεναι.[1561] Καὶ αἱ μὲν ἄνευ λεκίθων οἰκονομούμεναι τάξεις εἰσὶν θ′ · αὗται, δίχας πυρὸς τρεῖς ἀποτελοῦσι τάξεις φαρμάκων, ὑγρῶν, ἢ ξηρῶν, ἢ μέσων, αἱ δὲ μετὰ πυρὸς τρεῖς ὁμοίως ἑτέραι, ὑγρὰν, ἢ ξηρὰν, ἢ μέσην · αἱ δὲ[1562] διὰ τῶν ἀμφοτέρων τρεῖς πάλιν παραπλησίως χωροῦσαι.[1563]

1555. χρυσοκόλλου] signe de la chrysocolle M BAKE ; χρυσοῦ en toutes lettres Lb.
1556. ἐν ταῖς ἀλόγων ὄνθοις B etc., mel.
1557. προσχεδεῖς E Lb. — F. l. πυρὸς σχεδίας.
1558. προσομ. M.
1559. κατασκευάζουσι Lb.
1560. γενικὰ καὶ M.
1561. διὸ μονίεφθον M. — ἀπαρτιζόμενον MBAK.
1562. Réd. de Lb (en partie d'après E) : τρεῖς ὁμ. ἀποτελοῦσι τάξεις · ἑτέραι δὲ ὑγρὰν ... ἢ μέσην ἀποτελοῦσι.
1563. χωροῦσι E p. corr. Lb.

4. Τῶν λευκῶν δὲ < χωρὶς > ϑ΄ · καὶ αἱ μὲν ἄνευ πυρὸς ἀποτελοῦσιν τρεῖς,[1564] καθ' ὃ εἴρηται, ξήρων, ἢ ὑγρῶν συνθεμάτων, ἢ μέσων,[1565] αἱ δὲ μετὰ πυρὸς ὁμοίως τρεῖς, ἕτεραι δὲ αἱ διὰ τῶν ἀμφοτέρων ὡς αὖτως πάλιν τρεῖς.

5. Ὅτε δὲ τῶν ὑμένων χωρὶς οἰκονομοῦνται τὰ μέρη, παραπλησίως ἐννέα τάξεις ἀποκυΐσκονται ποιήσεων γενικῶν · τρεῖς μὲν ἄνευ πυρὸς, ὑγροῦ, ἢ μέσου, τρεῖς δὲ μετὰ πυρὸς, καθ' ὃ εἴρηται, τρεῖς δὲ μετὰ τῶν ἀμφοτέρων.

6. Ὁπότ' ἂν δὲ πάλιν ἄνευ τῶν ἐλίκτρων οἰκονομοῦνται τὰ εἴδη,[1566] εὑρήσεις ἑτέρας ϑ΄ φαρμάκων διαφορὰς, ὑγρῶν, ἢ ξηρῶν, ἢ μέσων, ὠμῶν, ἢ ἐφθῶν ἢ οὐδετέρων, ὡς εἶναι τὰς πάσας λΣΤ΄.

7. Αἱ δὲ ἀπὸ τῶν δύο μερῶν γινομένων τῆς ὕλης εὑρίσκονται γενικαὶ[1567] διαφοραὶ τάξεων νδ΄, ἐννέα μὲν ἐξ ὀστράκου καὶ ὑμένος, διὰ πυρὸς[1568] τρεῖς, (f. 123 r.) ἄνευ πυρὸς τρεῖς, ἐκ τῶν ἀμφοτέρων ὁμοίως τρεῖς,[1569] ὑγροῦ τε, ἢ ξηροῦ, ἢ μέσου ποιοῦσαι συνθέματα · ὁμοίως ἀπὸ λευκοῦ[1570] καὶ ξανθοῦ, καθὼς εἴρηται πλεονάκις · ἐννέα δὲ παραπλησίως ἐξ ὀστράκου τε καὶ λευκοῦ κατὰ τὸν δεδειγμένον τρόπον · ἐννέα δὲ ἀπὸ ὑμένων καὶ λεκίθων. Καὶ πάλιν ὁμοίως ϑ΄ ἐξ ἐλίκτρου καὶ λεκίθων · ἐννέα τε παραπλησίως

1564. τρεῖς τάξεις Lb.
1565. l. 5. καθὼς E p. corr. Lb, f. mel (Cp. p. suiv., l. 14).
1566. ἐλίκτρων] ἐλύτρων B etc., ici et partout. — οἰκονομῶνται E p. corr. Lb.
1567. γινόμεναι B etc.
1568. διὰ πυρὸς δὲ τρεῖς, ἄνευ δὲ πυρὸς E Lb.
1569. καὶ ἐκ τῶν ἀ. E Lb.
1570. Plusieurs points sur τε M ; τε om. B etc.

ἀπὸ ὑμένων καὶ τῶν λευκῶν. Γίνονται οὖν πᾶσαι κατὰ γένος οἰκονομίαι νδ′.

8. Αἱ δὲ ἀπὸ μόνης μιᾶς μοίρας τῶν ὠῶν εἰσὶν οἰκονομίαι λΣΤ′ γενικαί[1571] · τρεῖς μετὰ πυρὸς, τρεῖς ἄνευ πυρὸς, τρεῖς διὰ τῶν ἀμφοτέρων,[1572] ὑγρῶν, ἢ ξηρῶν, ἢ οὐδέτερον ἀποκυΐσκουσαι φάρμακον, ἐξ ὀστράκων[1573] μόνων, ἢ ὑμένων, ἢ λευκῶν, ἢ λεκίθων τυγχάνον. Διότι ὑγρὸν τήρει[1574] τὸ φάρμακον, εἰς τέλος αὐτὸ μὴ χοοποιῶν ἢ κατὰ τὸν καιρὸν τῆς[1575] καταβαφῆς ὕδατι τοῦτο ἐκκλύσας, πάλιν ἐπίχρισον τῇ σκευῇ καὶ[1576] πέταλα ἀργυρᾶ καὶ χάλκεα, καὶ πυρώσας εἰσκρίνει τὸ φάρμακον, καθὼς[1577] Ζώσιμος ἐν τῷ περὶ θείου ὕδατος διεσαφήνισεν λόγῳ · περὶ ὧν[1578] ἁπάντων σχεδὸν ἐν ταῖς πρότερον ἡμῶν σπουδαῖς ἐποιησάμεθα μνήμην. Πλὴν καθολικὸν ἔστω σοι τοῦτο παράγγελμα τὸ πᾶσαν οὐσίαν θείου[1579] ἀπύρου στερέμνιον

1571. ὠῶν gratté M.
1572. γενικαὶ δὲ ... τρεῖς δὲ ... τρεῖς δὲ E Lb.
1573. ξηρὸν M. — οὐδετέρως BA ; οὐδετέρων KE Lb. — καὶ ἀποκ. BAKE ; αἵ τινες ἀποκυίσκουσι Lb.
1574. μόνον Lb. — τὸ ὑγρὸν E Lb.
1575. Après τὸ φάρμ.] ἐξ ὀστράκων μόνον (biffé) E ; restit. Lb. — αὐτὸ om. Lb. — χροοποιῶν BAK ; χρωματοποιῶνοῦν E ; καταχρωματοποιοῦν αὐτὸ Lb.
1576. ἐκκλύσας] ἐκκλείσας A p. corr. K ; ἐκλύσας ον E ; ἔκλυον Lb. — τῇ σκευῇ] F. l. τὰ σκεύη. (Cp. p. 177, l. 12).
1577. ἀργυρᾶ καὶ χάλκεα] doubles signes de ἄργυρος et de χρυσός mss. (excepté Lb qui écrit τοῦ ἀργυροῦ καὶ τοῦ χαλκοῦ en toutes lettres). — εἴσκρινε Lb.
1578. διεσαφήνησεν M ; διεσάφησε B etc. — λόγῳ] λέγων E ; om. Lb. — Cp. 3, 21.
1579. Les mots πλὴν καθολικὸν — ὕδωρ ποιεῖν (l. 8) entre guillemets dans Lb. — θείου ἀπύρου en signe M ; θειώδη Lb.

φυσικὴν οὖσαν, ἡλίῳ τε προταριχεύειν καὶ πλύνειν[1580] ἐν γάλακτι, καὶ ἄνευ στερεῶν ἢ ὑγρῶν, ἴωσιν τὴν διὰ συμμέτρου[1581] θέρμης ἐκκλίνειν διὰ παντός. Καὶ πᾶν τὸ σεση- (f. 123 v.) πὸς ὕδωρ γίνεσθαι χρὴ, καὶ τούτῳ τῷ ἀσήπτῳ συγγαμίζειν εἴτε ὑγρὸν, εἴτε μὴ[1582] ὑγρὸν ἄγαν, ἀλλὰ ξηρὸν ἢ μέσον ὑπάρχον.

9. Μόναι τοίνυν αἱ εἰρημέναι τάξεις τῶν ποιήσεων ρλε΄ ἀναδειχθεῖσαι εἰς ἑαυτῶν μεθόδους γεννώσας προεστήσαντο, τήν τε διὰ μόνου πυρὸς,[1583] καὶ τὴν ἄνευ τελείως πυρὸς, καὶ τὴν ἐξ ἀμφοτέρων ξηρῶν, ἢ ὑγρῶν, ἢ μέσων ἀποκυΐσκουσαι φάρμακον.[1584]

Αἱ δὲ λοιπαὶ κατ' εἴδός εἰσιν $\overline{\rho\kappa\theta}$ τὸν ἀριθμὸν, καὶ ἀδύνατον[1585] πλειόνας εὑρεθῆναι. Κἂν γὰρ εἰς ἕτερα γένη ποιήσεων ἢ καὶ εἴδη[1586] δόξῃ ἐν ἑαυτῷ καινουργεῖν ἄνευ τῶν εἰρημένων, ἐκστῆναι παντελῶς οὐ δυνήσεται τῶν δεδειγμένων ἡμῖν ἀρτίως γενῶν καὶ εἰδῶν, τάξεων[1587] δὲ κατ' ἀριθμὸν ἀπείρους εὑρίσκων διαφορὰς, οὐδαμῶς ἰλιγγιάσεις γινώσκοντες κἂν ἐκ ποίου εἴδους ἢ γένους ὑπάρχουσιν. Αἱ γὰρ ἄτομοι[1588] ἐργασίαι, κἂν μοιρίαι τυγχάνουσιν ὁμοει-

1580. φυσικὴν] φησὶν BAKE ; φύσιν Lb. F. l. φύσει
1581. F. l. δι' ἀσυμμέτρου.
1582. γίνεσθαι] ποιεῖν E p. corr. Lb. — τοῦτο B etc. — συγκομίζειν B etc.
1583. εἰς τὰς ἐ. E Lb. — γεννῶσαι Lb. — τοῦ πυρὸς E Lb.
1584. μέσον M. — τὸ φάρμακον Lb.
1585. ρκθ΄] ριθ΄ B etc. Il faudrait ρκΣΤ΄ (*M. B.*). Voir la traduction, p. 396, note. — τῷ ἀριθμῷ B etc.
1586. εἰς] F. l. τις.
1587. δεδεγμένων B.
1588. γινώσκων E p. corr. Lb, mel. — ὑπάρχωσιν E Lb.

δεῖς οὐσίαι, τὸ καινὸν[1589] διαφεύγουσιν. Ὥσπερ γὰρ ἐπὶ ἑκάστων τῶν ὄντων εἰδῶν παραπολλοὶ[1590] εἰσι τὰ καθ' ἕκαστον, οὕτω καὶ ἐπὶ τῆς καλῆς ταύτης φιλοσοφίας ἔστιν ἰδεῖν, πλὴν γνώριμον ἅπασι τοῖς τοιάδε φιλοσοφοῦσιν, ὅτι[1591] μία καὶ μόνη τῷ εἴδει ἡ ὕλη τῆς ἐπιστήμης ἐστίν. Καὶ ὥσπερ[1592] ἐκείνην διὰ πασῶν ὑλῶν ὀνομάζουσιν οἱ διδάσκαλοι, γυμνάζοντες ὑμῶν τὰς φρένας, οὕτω καὶ ταύτην διὰ πασῶν οἰκονομιῶν προσαγορεύειν[1593] εἰώθα- (f. 124 r.) σιν ταύτας, οὐ μόνον δὲ οἰκονομιῶν,[1594] ἀλλὰ καὶ ὑλῶν τὴν ὡς ἀληθῶς μίαν κατ' εἶδος οἰκονομίαν, ἣν ὁ[1595] μελιδωνεὺς καὶ ἄγρυπνος ἀνὴρ ἐκ πασῶν, ὡς ἡ μέλιττα, καλῶς ἀναλεξάμενος[1596] ἀπὸ τῶν ἡμετέρων γραφῶν καὶ τῶν πάλαι γενναίων ἀνδρῶν[1597] νικήσει μεθόδῳ πενίαν, τὴν ἀνίαρον νόσον, διότι καὶ ἡμεῖς ταῖς τῶν[1598] προτέρων σοφῶν ἐπειράθημεν ἀκολουθῆσαι γραφαῖς.[1599]

1589. τι καινὸν BAK; ὁμοειδεῖς οὖσαι ὅμως οὐδὲν καινὸν ELb.
1590. ἑκάστου BAK; ἐφ' ἑκάστων E; ἐφ' ἕκαστον Lb. — παρὰ πολλοῖς B etc. F. l. παραπολὺ.
1591. εἰδεῖν M. — ὧ πᾶσι M. — τοῖς τὰ τοιάδε E Lb.
1592. ἡ om. E.
1593. ἡμῶν E p. corr. Lb, f. mel.
1594. εἰώθασιν. Ταύτας οὖν οὐ μ. δι' οἰκον. E p. corr. Lb.
1595. τὴν] τῶν B etc. — μίαν οἰκ. κ. εἶδος ἐπεξεργάζονται E Lb.
1596. μελιδονεὺς M; μελωδὸς BAK Lb; μελλωδὸς E. — ὡς ἡ μέλιττα ...] Cp. 3, 8, 3, p. 143. l. 11.
1597. ἡμετέρων om. BAK; add. E mg. — παλαιγενῶν B etc.
1598. τὴν πενίαν Lb. — ἀνίατον B etc.
1599. γραφάς M; γραφῆς AK.

1.3.11 6. — 11. ΠΩΣ ΔΕΙ ΝΟΕΙΝ ΑΥΤΑΣ ΚΑΙ ΣΧΗΜΑΣΙ ΓΕΩΜΕΤΡΙΚΟΙΣ. [1600]

Transcrit sur M, f. 124 r. — *Collationné sur* B, f. 111 r. ;— *sur* A, f. 105 v. ;— *sur* K, f. 13 v. ;— *sur* E, f. 29 r. ;— *sur* Lb, p. 97. — *Contenu dans* C, f. 78 (*copie directe de* B). — *Chap.* 22 *de la compilation du Chrétien dans* Lb.

Ἐπειδὴ τετραμερές ἐστιν τὸ ὑλικὸν αἴτιον τῶν ἀποτελεσμάτων τῆς ἐπιστήμης, ἔστω τὸ μὲν ὀστρεῶδες αὐτοῦ μόριον πρῶτον, τὸ δὲ ὑμενῶδες δεύτερον, τὸ δὲ θρομβῶδες τρίτον, τὸ δὲ ξανθῶδες καὶ λεκιθῶδες [1601] τέταρτον. Διαγεγράφθωσαν δὲ ὡς ἐν ἐπιπέδῳ τὰ σχήματα, καὶ γενέσθωσαν αἱ ἀπὸ τοῦ παντὸς οἰκονομίαι ὀρθογωνίοις σχήμασιν, τετραγώνοις τε < καὶ > ἰσοπλεύροις ἐσχηματισμέναι γραμμαῖς · αἱ δὲ ἀπὸ τῶν τριῶν μοιρῶν τριγώνοις διακείσθωσαν σχήμασιν πολυτρόπως τῶν στοιχείων τὰς [1602] γωνίας μετερχομένων πρὸς τὴν διάφορον ποίησιν · αἱ δὲ ἀπὸ μόνων δύο μοιρῶν ἡμικυκλίοις καὶ γραμμῇ ἐπιπέδῳ εὐθείᾳ γραμμῇ κά-

1600. περὶ τοῦ πῶς ... E par addition Lb.
1601. θρωμβῶδες] θερμῶδες B etc. — λεκυνθῶδες BAKE ; λεκυθῶδες Lb.
1602. τῶν om. B etc. — πολυτρόποις E p. corr. Lb.

θετον ἐχούσῃ[1603] μέσῃ δεικνύσθωσαν, τῶν στοιχείων ὡς ἐν ταῖς ἀνωτέρω μετερχομένων,[1604] πολυμερῶς · ἐπὶ δὲ τῶν ἀπὸ μέρους ἑνὸς γινομένων τάξεων, κυρίως[1605] (f. 124 v.) ἐστὶν ὁ διαγραφόμενος μόνος, ᾗ γραμμοειδές. Καὶ εἰ μὲν διὰ[1606] μόνου πυρὸς ἀποτελοῦσι τε διάστημα πυραμίδους ἐχούσῃ παρακείμενον[1607] χαρακτηρίζον αὐτὰς ὅσαι διὰ τοῦ πυρός · εἰ δὲ ἄνευ τοῦ πυρὸς, ὀκτάεδρον[1608] ἕξει παρακείμενον σχῆμα τὸ ἀνῆκον ἀέρι, μέσον δὲ ἔχοντι φύσιν τε καὶ[1609] θέσιν ὕδατος καὶ ἀέρος · ἕστωσαν δὲ τὰ διαγράμματα οὕτως.[1610]

✴

✴✴

1603. μοιρῶν] μερῶν E Lb. — ἡμικυκλίοις ων E; ἡμικυκλίων Lb. — γραμμὴ ἐπιπέδω M; γραμμικῇ ἐπ. BAK;— ἐν γραμμικῇ ἐπ. Lb. — εὐθεῖα γραμμὴ K. — εὐθεῖα γραμμὴ K; εὐθεῖαν γραμμὴν E par corr. Lb. — κατέθεντο B etc. — ἔχουσαν E p. corr. Lb.

1604. μέσῃ ...] ἐν μέσῳ τὴν ἀπόδειξιν τ. στ. Lb. — ἀνωτέραις μετῆλθον E p. corr. Lb.

1605. ἐπεὶ δὲ (mot souligné E) om. Lb. — τῶν δὲ E Lb.

1606. ὁ διαγρ ...] Réd. de E Lb : ὁ διαγρ. μόνος κύκλος τῇ γραμμοειδῇ κατθέσει (καταθέσει Lb). — καὶ αἱ μὲν E; καὶ τινὲς μὲν τάξεις Lb.

1607. ἀποτελοῦσαι E Lb. — πυρραμίδους M. — ἔχουσι E; καὶ ἔχουσι Lb. — παρακ. τὸ πῦρ τὸ χαρ. Lb.

1608. εἰ δὲ — πυρὸς om. BAK. — τινὲς δὲ ἄνευ τ. π. ὁ. ἔχουσι παρακ. Lb.

1609. ἀνίκον M. — ἔχον BAK; ἔχουσι Lb.

1610. Figures dans BC AELb. (Voir Introduction de M. Berthelot, p. 160, fig. 36).

1.3.12 6. — 12. ΤΙΣ Η ΕΝ ΑΠΟΚΡΥΦΟΙΣ ΤΩΝ ΠΑΛΑΙΩΝ ΕΚΔΙΔΟΜΕΝΗ ΤΑΞΙΣ.[1611]

Transcrit sur M, f. 124 v. — *Collationné sur* B, f. 111 v. ;— *sur* A, f. 106 r. ;— *sur* K, f. 13 v. ;— *sur* E, f. 29 v. ;— *sur* Lb, p. 99. — *Chap.* 23 *de la compilation du Chrétien dans* Lb.

1. Ἀρκτέον ἔνθεν λοιπὸν τῆς ἐξ ἀδύτων πιστῆς οἰκονομίας.[1612] Λαβὼν τὴν ὀρνιθείαν γονὴν σώαν, ἀμόλυντον, ἄσπιλον, δίελε ταύτην[1613] ὡς ἐπὶ τῶν καρυκίων. Χρειώδης γὰρ ἡμῖν ἐν πολλοῖς ἡ μαγειρικὴ[1614] τέχνη καθέστηκεν. Εἶτα ἐν δυσὶ χυτριδίοις μέρος ἑκάτερον τῶν ὑγρῶν ἐμβαλὼν, ποίησον τὴν διὰ τῶν μασθωτῶν ὀργάνων ἐκμύζησιν ἄχρι μηκέτι ἄνεισιν ἀτμός · ἀλλὰ πᾶσα ἡ λειπομένη ἐν τοῖς πατελλίοις[1615] ἐντέριον γίνεται μέλαν καὶ ἄψυχον, καὶ νεκρὰ, καὶ ὡς εἰπεῖν ἄπνους.[1616]

2. Μάλιστα οἱ ἀπὸ τῶν σκολιῶς ἐκδέδωκαν, ἵνα μὴ γυμνοῖς[1617] θηράσαντες οἱ τοῦ φθόνου συνήθεις μόνοι παρ' ἑαυτοῖς εὐδαιμονοῖεν τὴν γραφὴν ἀπαλείψαντες. Ἔνθεν

1611. ἐκδεδομένη B etc.
1612. ἀδύτων] ὑδάτων B etc.
1613. τὴν ὀρν. γονὴν] Espace blanc M. — ἄσπηλον M.
1614. καρυκειῶν B etc.
1615. πατελίοις MBAKE : E mg. : *alias* πεταλίοις (adopté par Lb qui aj. ὕλη καὶ.)
1616. ἐντεριώνη γένηται μέλαινα καὶ νεκρὰ καὶ ἄψυχος B etc. — ὡς εἶπον E Lb.
1617. A mg. : σημείωσαι. — Καὶ τοῦτο μάλιστα E p. corr. Lb. — οἱ] ἡ M. — σκολίων BAKE ; σκολιῶν Lb. — οὕτως add. E. — ἐκδεδώκασιν B etc. — B mg. : σημείωσαι. — γυμνοῖς τοῖς τρόποις E, p. add. Lb.

οὐ μόνον διὰ πολλῶν ὀνομάτων[1618] καὶ εἰδῶν τοῖς ἀκροαταῖς αὐτὴν διεχάραξαν, ἀλλά γε καὶ τάξεων ἀναριθμήτων ἐργασίαν παρέδω- (f. 125 r.) καν, μιᾶς τῆς αὐτῆς[1619] οὔσης κυρίως τῆς ὕλης, καὶ μίας ἐνεργείας · γυμνάσαι θέλοντες[1620] φρένας τῶν νέων ὑπολείμματά τε καὶ σπέρματα ταύτης, τῷ βίῳ καταλιπεῖν. Χαμαιρεπῆ δὲ καὶ ἰλυσπώμενον ἔχοντες ἄνθρωποι λογισμὸν[1621] ᾠήθησαν εἶναι κατὰ τὸ πρόχειρον τὰς γραφὰς τῶν ἀρχαίων, καὶ μᾶλλον δι' αὐτῶν ὑλομανεῖς ἐγενήθησαν. Εὐσεβέστερον δὲ κινηθέντες[1622] οἱ μετ' ἐκείνους διδάσκαλοι διὰ μιᾶς ὕλης καὶ χειρουργίας τὴν [ὕλην] ἐπιστήμην παρέθηκαν ἑτέροις, οὐδὲ τὸν φθόνον τὴν αὐτῆς[1623] ποιησάμενοι κρύψιν, ὧν ἐστιν Πετάσιος καὶ Συνέσιος οἱ θαυμάσιοι.[1624] Τούτων γὰρ ὁ μὲν τοῦ ἀρσενίκου ποιησάμενος μόνου καιρίαν τὴν μνήμην, πολυσχιδῶς αὐτοῦ παραδίδωσιν τὰς οἰκονομίας, αὐτὸ πρὸς αὐτὸ καλῶς μετρήσας τε καὶ συμπλέξας, ἵνα σαφῶς ἐπιδείξῃ[1625] τοῖς πᾶσιν ὅ τι τοῖς φυσικοῖς ἔπεται, καὶ αὐτὸς φιλοσόφοις

1618. τῇ γραφῇ BAK. — ἀπολείψαντες (-λιπόντες sur -λειψ.) E ; ἀπολιπόντες Lb.
1619. παραδεδώκασι B etc. — μιᾶς κ. τ. α. B etc.
1620. ἐνεργείας] ἐργασίας AKE Lb. E mg. : *alias* ἐνεργείας. — θέλωντας M ; θέλων τὰς BAKE : θέλοντες οὖν οἱ παλαιοὶ τὰς φρένας ... Lb.
1621. καταλείπειν ἠβουλήθησαν Lb. — χαμειριπῆ M. — ὕλη σπώμενον M. — οἱ ἄνθρ. τὸν λογ. Lb.
1622. ἐγένοντο B etc.
1623. ἑτέροις ἐστήσαντο B etc. — τὴν] τοῦ M. — οὐδὲ ...] μὴ τῷ φθόνῳ τὴν (αὐτὴν add. Lb) αὐτοῖς ποιησ. κ. B etc.
1624. ὧν εἰσι B etc.
1625. μετρίσας M ; μερίσας B (?) A etc. Corr. conj.

βοῶσιν[1626] · « Ἡ φύσις τῇ φύσει τέρπεται, καὶ ἡ φύσις τὴν φύσιν νικᾷ. » Ὁ δὲ διὰ[1627] τοῦ ποντίου ῥᾶ ῥᾴστας ποιήσεις τῶν ὑδάτων ἐνέφηνεν κυρίας εἶναι[1628] μόνας τῆς ἀληθοῦς ἐπιστήμης.

3. Ἀλλ' ὅμως καὶ οὗτοι κατὰ μὲν τὰς μεθόδους ἕνεκεν σαφηνείας εὐδοκιμοῦσιν, κατὰ δὲ τὴν ὕλην[1629] βραχὺ συσκιάσαντες ἐλύπησαν τοὺς[1630] ἀκροατάς. Πῶς γὰρ, οἴονται, ἦν κατὰ τὸ πρόχειρον, εἰ τὸ πόντιον ῥᾶ, ἢ τὸ ἀρσένικον τὰς τηλικαύτας ἐπαγγελίας ποιῆσαι, τῆς ὀρνιθείας γονῆς[1631] μόνης κατεργαζομένης τὸ (f. 125 v.) πᾶν, ὡς ἐν τῇ κατὰ πλάτος[1632] δογματικῇ πλουσίως ἐδείξαμεν ;

4. Ἀλλ' ὁ μὲν τὸ ἀρρενογόνον καὶ τὸ καθεκτικὸν, τουτέστι τὸν χαλκὸν[1633] καὶ τὸ χρυσαυγὲς ἠνίξατο διὰ τῆς τοῦ ἀρσενίκου προσηγορίας · ὁ δὲ διὰ τοῦ ποντίου ῥᾶ τὸ καθεκτικὸν ὕδωρ καὶ γόνιμον τῆς τέχνης · κατάρρυτος γὰρ ὁ πόντος καὶ πλῆθος ἰχθύων καὶ παροἰκίαν βαρβάρων, φονικὸν δέ[1634] τι χρῆμά ἐστιν χαλκὸς ἀναιρῶν τοὺς ἀπείρους αὐτῷ προσιόντας. Ὅθεν[1635] καὶ πρὸς κοίμησιν βίου ποιεῖ,

1626. τοῖς βοῶσιν ὅτι Lb.
1627. M mg. : ὡρ. ὅλον.
1628. ῥὰ B etc. ici et plus bas. — ποιήσας τὰς τάξεις ἐνεφ. E Lb. — κυρίας αὐτὰς E Lb.
1629. οἴονται] οἷόν τε BAKE ; οἷόν τε ἐστὶ Lb. Guillemets jusqu'à τῆς τῆς τέχνης (l. 9).
1630. ἢ τὸ πόντιον ῥᾶ Lb, f. mel.
1631. ὀρνιθαίας M.
1632. M mg. inf. : ἀρσένικον διὰ τὸ ἀρρεγύνον. πόντιον ρὰ διὰ τὸ καθεκτικὸν καὶ γόνιμον τῆς τέχνης (15e siècle).
1633. ἀλλὰ γάρ τὸ ἀρρ. E Lb. — χαλκὸν] signe de ἰόχαλκος BAKE.
1634. ὁ πόντος ἐστὶ E p. add. Lb.
1635. M mg. : ὡρ < αἶον. > — χαλκὸς] signe de ἰόχαλκος BAK ; ἐστιν ὁ

διδόμενος ὀρόβου ἢ σησάμου τὸ μέγεθος,[1636] ὡς οἱ ἀρχαῖοί φασιν.

5. Ἵνα μὴ οὖν ἄπειρος ἡ τέχνη καὶ πάντη ἄληπτος δόξῃ τοῖς πᾶσιν,[1637] πλατεῖά τις οὖσα κατὰ ἀλήθειαν καὶ οὐκ ἄπειρος, ἀναγκαίως ἐπὶ τὸ γράφειν ὡρμήσαμεν · καὶ ταῦτα πολὺ τῆς ἐκείνων συνέσεως ἀπολιμπανόμενοι[1638] καὶ ἀμελῶς τοῖς αὐτῶν ἐντυγχάνοντες πόνοις. Τὸ φιλάνθρωπον δὲ καὶ σκοτεινὸν τῶν εἰρημένων πραγμάτων μιμήσασθαι θέλοντες,[1639] τὴς μὲν γνησίας ὕλης ἐπεδραξάμεθα, πλείοσι δὲ χειρουργίαις αὐτὴν[1640] ἰατρεύσαμεν, ἃς ἐμφρόνως ἀναγινώσκοντες, οὐκ ἔξω τοῦ σκοποῦ τῆς[1641] ἀληθείας ἐν πάσαις ὀφθήσονται. Μίαν γὰρ καὶ τὴν αὐτὴν διαγράφουσι μέθοδον, μέλανσίν τε καὶ λεύκωσιν, ξάνθωσίν τε καὶ ἴωσιν, μερικὴν τοῦ συνθέματος τὴν συγγάμησιν ἔχουσαν τοῦ παντὸς, ὧν ἄνευ γενέσθαι τι[1642] τῶν χρησίμων τῶν ἀδυνάτων ἐστίν.

6. Ἵνα μὴ δὲ τὰ αὐτὰ καὶ ἡ- (f. 126 r.) μεῖς τοῖς ποιοῦσι πάθοιμεν, ἄπειρον εἰσηγούμενοι ποιήσεων ὄγκον, καὶ τοῖς ὁμοίοις ἐγκλήμασι περιπέσωμεν, ἐπὶ τὴν παροῦσαν ἤκομεν συγγραφὴν, πασῶν τῶν πράξεων ὑπάρχουσαν σύνοψιν, ἐν ᾗ τὰς γενικωτάτας αὐτῶν, ὡς εἰπεῖν, ἐνεθήκαμεν, δι' ὧν αἱ

λίθος ἀναιροῦν E Lb. — ἀπείρους καὶ θρασέως αὐτῷ B etc. — αὐτὸ M.
1636. F. l. προσκοίμησιν. — σισάμου M.
1637. πάντη M.
1638. ἀπολειμπ. M.
1639. σκοτινὸν MK.
1640. ἀπεδραξάμεθα B etc. f., mel.
1641. οἱ ἀναγιν. E Lb.
7. Ὄργανα μὲν κιθαρικὰ τὰ πολλὰ τοῖς εἴδεσιν διαφέροντα[1903] · ἔστι γὰρ πλινθίον τὸ διὰ τῶν λβ′, λύρα ἡ διὰ τῶν ἐννέα, ἀχιλλιακὸν,[1904] τὸ διὰ κα′ ἐπαγωγῆς, ψαλτήριον τὸ διὰ τῶν ι′ ἢ ἔλαττον, ἢ λ′ ἢ μ′ ἢ πλεῖον, τὸ ἀπὸ γ′ ἢ δ′ ἢ ε′. Καὶ τὸ διὰ τῶν λβ′ τό τε οἰκεῖον τῶν θείων δυνάμεων πλινθίον, ὅπερ κυρίως ἁρμόττει ψυχαῖς, καὶ πρὸς σωματικῶν δυνάμεων φιλίαν, ὅπερ ἀνήκει μᾶλλον τοῖς σώμασιν · αὐλητικὸν, διὰ χαλκοῦ μὲν, τὸ καλούμενον μέγιστον ὄργανον ψαλτήριον, καὶ χειρόργανον, καὶ καβιθακάνθιον[1905] ἑπτὰ δακτύλων,[1906] καὶ πανδούριον, τὸ νάδιόν τε καὶ

εἴδη τούτων τῶν ὑπ. αὐτοῖς ὑπάρχουσιν, ἓξ μὲν ...

1902. εἰσὶ ταῦτα · ἦχος καθαρὸς ... E.

1903. M mg. : Figure formée de 3 lignes horizontales parallèles dont la 1re et la 3e sont bordées de petits traits verticaux alternant avec des points. — ἔστι] signe douteux MK ; οἷόν ἐστι τὸ πλ. E. — ἔστι γὰρ] espace blanc K.

1904. διὰ τῶν λβ′ — καὶ χειρόργανον] Réd. de E : διὰ τῶν τριάκοντα δύο χορδῶν συγκείμενον ὑπάρχον, καὶ ἡ λύρα ἡ διὰ χορδῶν ἐννέα συνισταμένη, καὶ τὸ ἀχιλλιακὸν, τὸ διὰ εἴκοσι χορδῶν συνιστάμενον καὶ μιᾶς ἐπαγωγικῆς καὶ τὸ ψ., τὸ διὰ δέκα χορδῶν ἢ ἔλαττον ... ἢ πλείον συνιστάμενον. Ἔτι δὲ καὶ ἄλλο ψαλτήριον τὸ διὰ [διὰ] τριῶν ἢ τεσσάρων, ἢ πέντε χορδῶν συνιστάμενον · καὶ ἄλλο τὸ διὰ τριάκοντα δύο συνιστάμενον. τὰ δὲ καλούμενα ὄργανα κατ' ἐξοχὴν παρ' ἡμῶν νῦν, οἱ ἀρχαῖοι ἐκάλουν ταῦτα πλινθίον ἄχορδον καὶ αὐλητικόν · ἔστι δὲ οἰκεῖον τ. θ. δυν. καὶ ἁρμόζεται κυρίως ταῖς ψ. καὶ πρὸς [πρὸς] ῥῶσιν τῶν σωματικῶν δυνάμεών ἐστιν ἐπιτήδειον, καὶ πρὸς κατάνυξιν ψυχῆς καὶ πρὸς φιλίωσιν Θεοῦ, θελκτικόν. προσήκει γὰρ ἔτι καὶ τοῖς σώμασιν, αὐλητικὸν ὑπάρχον · γίνεται δὲ διὰ χαλκοῦ, καὶ καλεῖται μεγ. ὄργ., καὶ μέγα ψαλτ. κ. χειρόργανον.

1905. καὶ ἑπταδάκτυλον E.

1906. τονάδιόν τε K. — καὶ τονάδιον καὶ κορνίκιον, καὶ μεγάλη σάλπιγξ

σάλπιγξ, καὶ κορνίκες · ἄνευ δὲ χαλκοῦ,[1907] μονοκάλαμον, δικάλαμον, πολυκάλαμον, καὶ ῥὰξ τετρώρεον καὶ[1908] τὸ πλάγιον. Ναυστὰ δὲ καλοῦμεν ἢ κύμβαλα χειρῶν, ἢ ποδῶν,[1909] ὀξύβαφά τε χαλκὰ καὶ ὑέλινα. Καὶ τὸ σύνθεμα τὸν ἐκ πλειόνων[1910] μετάλλων · ὅπερ ὁ ἐννοῶν τὴν τῶν κδ΄ < στοχῶν ? > ἐνέργειαν οἶδεν ἀποτελεῖν.

8. Καὶ ἔτι ἄλλο Ξενοκράτης ὁ θεῖος δέδωκεν · τῶν δὲ χηνίων[1911] καὶ τῶν ἡμεροπόρων τέσσαρα πάλιν εἴδη, καὶ ὑποβεβηκότα τυγχάνουσιν, λευκὸν καὶ ξανθὸν, ὑμὴν καὶ τὸ ἔλικτρον. Κἀντεῦθεν αἱ κατ' εἶδος διαφοραὶ τῶν ποιήσεων ἐδείχθησαν μιγεῖσαι τῇ ἐπιστήμῃ, καθὼς αἱ[1912] εἰρημέναι διαφοραὶ τῶν στοχῶν καὶ τῶν μελωδιῶν τὰ εἰδικώτατα εἴδη.[1913] Ὥσπερ γὰρ τοῖς μέρεσι τῆς χυμευτικῆς ὕλης ἡ τέχνη συγγενομένη καὶ πολλὰ καὶ διάφορα τῶν ποιήσεων τὰ

E.

1907. ἄνευ δὲ χαλκοῦ — πολυκάλαμον] τὸ δὲ διὰ καλάμων καλεῖται μονοκ. καὶ δικ. καὶ πολυκ. E.

1908. καὶ ῥὰξ, καὶ τετρ. καὶ πλάγιον · ἔστι δὲ ἡ σύριγξ. E.

1909. Ναυστὰ δὲ — ἢ ποδῶν] Réd. de E : ναυστὰ δὲ καλοῦμεν τὰ κυμβ. τὰ διὰ τῶν χειρῶν κτυπούμενα ἢ τῶν ποδῶν.

1910. ὀξύβαφα — ἀποτελεῖν] Réd. de E : ὥσπερ δὲ ἐν τῇ μουσικῇ, εἰσὶ πολλὰ τὰ γένη καὶ τὰ εἴδη καὶ τὰ ὄργανα, οὕτως εἰσὶ καὶ ἐν ταύτῃ τῇ θείᾳ τέχνῃ τῇ χυμευτικῇ γένη καὶ εἴδη καὶ διαφοραὶ οἰκονομιῶν καὶ συνθέσεων καὶ ἀγγεῖα καὶ ὀξυβ. καὶ χαλκᾶ καὶ ὑέλ. καὶ ὀστράκινα · ὅστις δὲ οἶδε ταύτας πάσας καὶ ἄλλας ἄλλων τὰς διαφορὰς, οἶδεν ἔτι ἀποτελεῖν τὸ ζητούμενον.

1911. Καὶ ἔτι — ἔλικτρον (f. l. ἔλυτρον)] Réd. de E (qui continue la phrase précédente) : ὡς φησιν ὁ θεῖος Ξεν., τῶν δὲ χ. καὶ τῶν ἄλλων τῶν ἡμερ. ὀρνίθων τὰ ὠὰ τέσσαρα εἴδη καὶ ὑποβ. ἔχουσι, ἤγουν τὸ ἔλικτρον τὸν ὑμένα, τὸ λευκὸν καὶ τὸ ξανθὸν.

1912. ἀνεδείχθησαν E. — καθὼς] ὥσπερ καὶ E.

1913. στοχῶν] ἤχων E. — τὰ εἰδικ. εἴδη πανσόφως ἀνεδείξαντο E.

εἴδη ἀπέδειξεν, οὕτω καὶ τὸ τῆς[1914] μουσικῆς θεοδώρητον ἀγαθὸν, τοῖς ὑλικοῖς μιγνύμενον εἴδεσιν, πλείονας εἰδῶν διαφορὰς ἀπεκύησεν.

9. Ὅτι οὐ μόνον ξηρίον εἰσὶν αἱ εἰρημέναι διαφοραὶ, ἀλλὰ τοσαῦται[1915] κατ' εἶδος καὶ ὑγρῶν καὶ ξηρῶν καὶ μέσων ἀπογεννῶνται ποιήσεις.[1916] Πα- (f. 183 v.) σῶν γὰρ τῶν εἰρημένων ἐν ξηρίοις κατ' εἶδος διαφορῶν ἰσαρίθμους εὑρήσομεν ἐξ ὑγρῶν καὶ μέσων φαρμάκων διαιρέσεις,[1917] ἀναspωμένων δι' ὀργάνων, καὶ μὴ ἀναspωμένων, ἀλλ' ἢ διὰ ῥάκους[1918] ἐκθλιβομένων ἢ ἐτέρως πως ἐξυδαρουμένων · ὡς καὶ τοῦτο τοῖς ὑλικοῖς[1919] ἑνούμενον στερεοῖς καὶ μέσην ἀποτελοῦν τὴν κρᾶσιν μετὰ τὴν ἴωσιν,[1920] αὖθις ἐκλειούμενον, καὶ λίαν ὑγρὰν ἔχει τὴν ὕparξιν. Οὐ γὰρ μόναι αἱ[1921] δύο μοῖραι τῶν ὠῶν ὑδραργυρίζεσθαι δύναιντο, ῥευστῆς ὑπαρχούσης[1922] φύσεως, κατὰ τὸ πλέον τῆς οἰκείας γενέσεως, ἀλλὰ καὶ αἱ πρῶται δύο ξηραὶ, κατὰ τὸ πλεονάζον ὑπάρχουσαι φύσεως, ὑδραργυρίζεσθαι οὐκ ἀδύνατοῦσιν · ὡς καὶ πᾶν σῶμα φυσικὸν ἐκ τῶν τεσσάρων στοιχείων[1923]

1914. καὶ δίαφ.] καὶ om. E. — ἀνέδειξεν E.
1915. ὅτι] ὅθεν E. — ξηρίον] F. l. ξηρῶν. — ἀλλὰ καὶ E.
1916. Après ποιήσεις, E ajoute : ὥστε δοκεῖν τοῖς ἀμυήτοις, καὶ ἀμαθέσιν ἀδύνατα ἐπιχειρεῖν ἀperγάζεσθαι.
1917. ἐξ ὑγρῶν καὶ ξηρῶν καὶ μέσων E.
1918. M mg. : ὡρ < αἷον. > — ἀλλὴ M. — ῥάκκ. M, ici et partout.
1919. πῶς MK.
1920. καὶ μετὰ E.
1921. ἐχόντων ὕπ. E. — μόνον E.
1922. δύνανται E. — ὑπάρχουσαι E.
1923. ὥστε καὶ E.

κεκραμένον ἔχον τὴν ὕπαρξιν, ἀνίσως ἢ ἴσως.[1924]

10. Ἐκμυζοῦνται οὖν καὶ ἀπὸ τῶν στερεῶν οὐσιῶν τὰ ὑγρά, ὡς κἂν εἴσφορα ἐλάχιστα ὦσιν, ἢ διὰ τῶν ἀμβύκων, ὁμοίως τοῖς κατὰ τὸ μᾶλλον[1925] ὑγροῖς ἐκ χυδαίου κεκραμένοις, ἢ σβεννύμενα τοῖς κατὰ φύσιν[1926] ὑγροῖς, καὶ χρόνῳ σηπόμενα καὶ ἀναλυόμενα, ἅπερ καὶ διχαζόμενα οἰκονομοῦνται διὰ τοῦ γερανίου ἢ ἄνευ τοῦ μασθωτοῦ · καὶ μίγνυνται[1927] ἀλλήλοις τὰ μέρη τὰ συμφυῆ, τό τε σεσηπός φημι καὶ τὸ ἄσηπτον. Καὶ εἰ μὲν ἐξ ὑγρῶν μόνων ἐθέλοι καταβαφὴν κατεργάσασθαι[1928] τῇ σήψει τούτων, οὐκ ἐπάγει τὴν λείωσιν, ἀλλὰ ὕδωρ ὕδατι μιγνὺς τελειοῖ τὸ φάρμακον, τὰς ἀποκαθημένας στερεὰς οὐσίας αὐτῶν ἀποδιελών, καθὼς ὁ μέγας Συνέσιος διεσάφησεν.

11. Εἰ δὲ διὰ τὴν φύσιν μίξας τε πάλιν ὁμοειδέσιν ὑγροῖς διχάζει[1929] καὶ σήπει, καὶ ἀναspᾷ καὶ σωματοῖ τὰ μέρη, καὶ τὸ ζητούμενον ἕξει[1930] (184 r.) σαφῶς. Εἰ δὲ τούτων ἑτεροῖον βούλεται φάρμακον ἐκτελεῖν, πάντα τελέσας τὰ ἐπὶ τῶν ξηρίων, ἐπ' ἔσχατον δεῖ σε τὸ χωνίδιον[1931] ἐπαίροντα τῇ λαβίδι διὰ τῶν πλευρῶν ἰσχυρῶς, καὶ ἐκκαλύπ-

1924. κεκραμμένον MK ; κεκραμένην E. — ἢ καὶ ἴσως δύνανται ὑδραργυρίζεσθαι. Ἐκμυζοῦνται ... E.
1925. εἰσφορὰ M ; εἰσφορὰν E.
1926. τούτων sur φύσιν E.
1927. μαστωτοῦ E.
1928. ἐθέλοι τις E.
1929. Les mots εἰ δὲ — σαφῶς entre parenthèses dans E, qui ajoute : *hoc non est* ἐν τῷ τοῦ εὐλαβοῦς ὅτι μ' ἔφυγε.
1930. ἕξει M, ici et presque partout. — βούλεταί τις E.
1931. σε] αὐτὸν E.

τοντα τὸ πῶμα σιδήρῳ τῷ εἰς τοῦτο φιλοτεχνηθέντι, καὶ ἀποφυσήσαντα πάντα ἐκ τοῦ χωνιδίου τῶν αἰθαλῶν καταρρίπτειν κατὰ τοῦ καθαρωτάτου ὕδατος ἀποκαλύπτοντα τὸν κρατῆρα, δηλαδὴ σπόγγῳ ἢ ῥάκει[1932] καθαρῷ κάτωθεν πρὸ δακτύλου τοῦ πυθμένος ἀντεχόμενον, ἐὰν ῥάκος ᾖ ἀποκρεμώμενον ἐκ τῶν τεσσάρων οὐάτων τῆς ὑελῆς ἢ ὀστρακίνης[1933] κρατηρίης. Ἔστω δὲ καὶ τὸ ὕδωρ καθαρὸν, ἢ ὑέτιον, ὑλιστόν[1934] · ἐπὰν γὰρ τὸ ὕδωρ ἀκάθαρτον ᾖ, εὐθὺς ὁ λίθος μιαίνεται. Δεῖ οὖν καὶ τὸ ὕδωρ καὶ τὰς χεῖρας πάντοτε καθαρὰς ἔχειν, διὰ τὸ τοῦ λίθου ἐλευθέριον.

12. Ἔπειτα ἀναspάσαντες αὐτὸν ἐκ τοῦ ὕδατος χερσὶ καθαραῖς, οἱ μὲν διὰ τοῦ ἑαυτῶν στόματος ἀναρροφῶντες αὐτὸν ἐφέλκονται, ὃ κατέπιεν ὑγρόν. Εἶτα σπόγγῳ ἐπάνω καὶ ὑποκάτω συγκαλύψαντες θερμοβάριον μικρὸν τιθέασιν, ἵνα τῇ ἰδίᾳ ἑαυτοῦ φύσει ὁ σπόγγος ἐφελκύσῃ ἐκ τοῦ λίθου τὸ ὑγρὸν, δηλονότι τοῦ σπόγγου χειμῶνος ὥρῃ[1935] εὐκράτῳ θερμαίνοντες. Ἔπειτα λαβόντες αὐτὸν, τιθέασιν κατὰ τοῦ[1936] χωνιδίου τοῦ αὐτὸν ἀραιώσαντος, προφυσήσαντες ἀκριβῶς τὴν αἰθάλην · καὶ ἐῶσι κεῖσθαι μέχρις ἂν ἀποψυγῇ, δηλαδὴ τῆς θέρμης τοῦ χωνιδίου[1937] ἀνιμωμένης τὸ ὑπολειφθὲν τοῦ ὕδατος.

13. Αἱ δὲ ἀρχαιότεραι γραφαὶ τὸ ἐπάνω τοῦ χωνιδίου

1932. F. l. ἐπικαλύπτοντα.
1933. οὐάτων] ὠτίων E. — ὑέλης MK ; ὑαλίνης E. Corr. conj.
1934. κρατηρίας E.
1935. F. l. τὸν σπόγγον. — δηλονότι — θερμαίνοντες om. E.
1936. F. l. εὐκράτως.
1937. ἀποψυγὴ M.

ὑποκάτω κελεύουσι τίθεσθαι, δηλονότι τοῦ ἔχοντος τὸν λίθον (?) τοῦ ὑποκάτω. Ἄλλοι[1938] δὲ ἐνὶ τῶν τριῶν μόνον ἀνιμῶνται (f. 184 v.) τὸ ὑγρὸν τοῦ λίθου ἢ[1939] στόματι, ἢ σπόγγῳ ἢ τῷ ἰδίῳ χωνιδίῳ.

14. Ἐπ' ἂν δὲ πάλιν ἄλλους ἀραιῶσαι βούλωνται, ἐκκακκαβίζουσι[1940] τὴν κρατηρίαν πάντα τὰ σύνεγγυς ἀσφαλισάμενοι διὰ τὴν ἀφιπταμένην αἰθάλην · καὶ οὕτως ἰσχυρῶς ἀποφυσῶσιν ἐκ τῆς κρατηρίας πᾶσαν τὴν εἰς τὸ βάθος αἰθάλην, καὶ καθάραντες καὶ ἀναζωοπυρήσαντες πάντας[1941] τοὺς ἄνθρακας καὶ προσαναπληρώσαντες ἐς ἄλλων προκεκαθαρμένων[1942] τοὺς λείποντας. Δεῖ σε γὰρ καὶ τούτους ἔχειν ἐν ἑτοίμῳ, μάλιστα ἐν[1943] ταῖς ἀραιώσεσιν καὶ βαφαῖς, ἵνα μὴ ὁ χρόνος παρασυρόμενος ἐν τῇ τούτων[1944] ἀπεκπυρώσει ἀνωμάλως, ὥσπερ ἔφην, ἐνέγκῃ τὸν λίθον. Ὅταν οὖν ἀναπληρώσωσι καλῶς, τὸ τηνικαῦτα ἀραιοῦσι μέχρις ἂν αὐτοῖς ἀρεστὸν ᾖ. Καὶ οὕτως μὲν ἡ ἀραίωσις.

15. Ἀλλ' ἐρεῖ τις · « Δεῖξόν μοι καὶ ἐκ τῶν ἀρχαίων γραφῶν ὅτι οὕτως ἔχει. » Ἄκουσον πρώτου χυμευτοῦ. « Λαβὼν, φησίν, λιθοπυρίτην,[1945] πύρωσον ἐπ' ἀνθράκων,

1938. δῆλον ὅτι M. — δηλονότι — ὑποκάτω om. E. — λίθον] signe de λίθος ? MK.
1939. τῶν τριῶν τούτων μόνον E.
1940. ἐπὰν E. — ἐκκακαβ. KE.
1941. ἀναζωπυρ. E.
1942. καὶ προσαναπλ.] προσαναπληροῦσιν E.
1943. σε om. E. — μάλιστα δὲ E.
1944. βαφαῖς] γραφαῖς biffé βαφαῖς E.
1945. Ἄκ. δὲ τοῦ πρ. χυμ. τί φησιν E. χιμμευτοῦ M — φησὶν om. E. — λιθοπυρίτην] πυρίτην E.

ἕως, φησὶ, γένηται τῷ πυρὶ ὅμοιος[1946] · καὶ ἀνελόμενος, κατάβαψον εἰς ὕδωρ ψυχρὸν, καὶ βάλε αὐτῷ τῷ δακτύλῳ σου σίαλον · καὶ ἐὰν αὐτὸ ἀναπίῃ, καλῶς ἐπυρώθη · καὶ τότε[1947] εἰς τὴν βαφὴν κατάθες.[1948] »

✶
✶✶

1.3.16 6. — 16. ΕΡΜΗΝΕΙΑ ΤΗΣ ΕΠΙΣΤΗΜΗΣ ΤΗΣ ΧΡΥΣΟΠΟΙΑΣ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΚΟΣΜΑ.[1949]

Transcrit sur A, f. 159 r. — *Collationné sur* B, f. 181 (*écriture du* 15^e *siècle*) ;— *sur* C, f. 124 v. ;— *sur* K (*copie de* A), f. 41 r. — *Contenu aussi dans Laur.*, f. 280 r.

1. Ἡ ἀληθινὴ αὕτη καὶ μυστικὴ χυμία κόπου μόνου δεῖται, ἐξόδου δέ οὐδεμιᾶς · ἓν γάρ ἐστι τὸ πᾶν, καὶ δι' οὗ τὸ πᾶν · καὶ εἰ μὴ γένηται τὸ ἓν τρία, καὶ τὰ τρία ἓν, οὐδέν ἐστι τὸ πᾶν · καὶ τοῦτό ἐστιν ἡ λύσις τῆς κακοσχόλου νόσου τῆς πενίας. Διὰ γοῦν τὴν σὴν ἀγάπην γράφω σοι, ὅστις ἐφόδιον καὶ τίποτες μικρὸν ἐκ ταύτης τέχνασμα.[1950]

1946. φησι] ἂν E.
1947. σίαλλον MK.
1948. Après κατάθες] τέλος τοῦ μουσικολίθου E.
1949. B mg. : *Vide codicem* 3184, fol. 124 v°. (3184 était le numéro de notre ms. C dans le classement de 1682.) — Le ms. C, dans ce morceau, n'est pas la copie de B. — A paraît être celle de C.
1950. ὅστις] F. l. ὥς τι. — τίποται (pour τί ποτε) B.

2. Βάλε χρυσοῦ καθαροῦ ΣΤ$^{\upsilon}$ γ′, ὑδράργυρον ΣΤ$^{\upsilon}$ α′, καὶ ποίησον[1951] μῖγμα, ὡς ποιοῦσιν οἱ χρυσοχόοι. Εἶτα ἀπόκλυσον τὸ μῖγμα ὕδατι,[1952] ὡς ἐκφυγεῖν τὴν μελανίαν · εἶτα ἀποπίασον τὸ μῖγμα πανίῳ λινῷ καλῶς, ὡς ἐκφυγεῖν τὴν ὑδράργυρον · εἶτα ἔνωσον τὸ μῖγμα ἴσῳ ἰῷ καλῷ, καὶ τζαπαρίκῳ, καὶ ὀλίγῳ τιτάνῳ ὠοῦ · καὶ τρίβε καλῶς τὰ ὅλα ἐπὶ μαρμάρου. Εἶτα ἔνωσον αὐτὰ ὠοῦ λεκίθῳ μιᾷ · εἶτα βάλε πάντα ἐν[1953] κελύφῳ ὠοῦ στερεοῦ ἐκ μιᾶς ὀπῆς · ἔστω δὲ τὸ κέλυφον καινὸν καὶ καθαρόν · καὶ γύψωσον καλῶς τὴν ὀπὴν καὶ ὅλον τὸ ὠὸν, καὶ χῶσον ἐν ἱππείᾳ κόπρῳ θερμῇ ἡμέρας ζ′. Εἶτα ἐξελὼν ἴδε ἐκ τῆς ὀπῆς τοῦ ὠοῦ τὸ σύνθεμα · καὶ εἰ μὲν γέγονεν ὅλον ἰὸς, καλόν · εἰ δ’ οὔ,[1954] (f. 159 v.) πάλιν χῶσον ὁμοίως, ἕως γένηται ὅλον ἓν, ἤγουν ἰὸς καλός. Τότε ἀνάψας ἄνθρακας θαμινὰ θαμινὰ, ἤγουν συχνὰ συχνὰ, φρύξον[1955] ὅλον τὸ ὠόν · εἶτα ἐξελὼν τὸ μῖγμα, τρίψον ἐπὶ μαρμάρου, καὶ ἔχε ξηρίον, καὶ λύσας μήνην καθαρωτάτην ἐν τῇ χώνῃ, βάλε ἐξ αὐτοῦ[1956] μέρος ἓν, καὶ ἴδῃς χρυσὸν ὑπέρφωτον · εἰ δε θέλεις ὠβρυζώτερον[1957] ποιῆσαι, δευτεροτρίτωσον τὴν πρᾶξιν ὡς πρῶτον, ἕως ἀρέσῃ σοι.

3. ΤΟΥΤΟ ΜΕΝ ΕΣΤΙΝ ΕΚ ΤΙΝΟΣ ΠΑΛΑΙΟΥ ΖΩΣΙΜΟΥ ΤΙΝΟΣ · ΤΟ Δ’ ΕΤΕΡΟΝ ΕΣΤΙΝ ΕΚ ΤΗΣ

1951. Βάλε] F. l. λάβε. (Confusion fréquente dans ce morceau.)
1952. ἀπόκλεισον CAK.
1953. μαρμάρου mss. Cp. ci-dessous, l. 20. — λεκίνθω CAK.
1954. εἰ δ’ οὖν mss.
1955. θαμινᾶ AK. — συχνᾶ AK. — φράξον mss.
1956. λείσας mss. F. l. χύσας. — χώνη, ἤγουν ἄργυρον καθαρὸν, βάλε B. — ἐξ αὐτοῦ τοῦ ξηρίου B.
1957. εὐριζώτερον mss.

ΜΕΓΑΛΗΣ ΤΕΧΝΗΣ ΤΩΝ ΠΑΛΑΙΩΝ · ΚΑΙ ΔΟΚΙΜΑΣΟΝ ΑΥΤΟ ΟΥΤΩΣ.[1958] — Λάβε ὠὰ τέσσαρα · ἐν ἀγγείῳ βαλὼν ὀστρακίνῳ εὐρυχώρῳ · καὶ φυράσας ὀλίγον σεμιδάλεως μετὰ μέλιτος, κατάθου πέριξ τῶν ὠῶν ἐν τῷ ἀγγείῳ, καὶ φιμώσας ἀσφαλῶς, χῶσον ἐν κοπρίᾳ ἡμέρας ρκ′, ἕως ἡ φύσις γένηται αἵματος ψυχῆς · ἔπειτα ἀνακαλύψας, ἐπίθες τὸν ἔνοικον ἐν ὀστρακίνῳ καινῷ, καὶ διαπύρους ἀνάψας ἄνθρακας, τούτους ῥιπίζων, φέρε τὴν τῶν ἀνθράκων αὖραν[1959] ἐπὶ τὸν προκείμενον ἔνοικον · καὶ ὅταν φρυγῇ, βάλε ἐν θυείᾳ, τῆς χειρός σου μὴ ἀναψαμένης · καὶ τρίψας ἔχε ἐν βησσίῳ · καὶ χωνεύσας[1960] ἄργυρον καθαρὸν λίτραν μίαν, ἐπίβαλε ἐκ τοῦ ξηρίου μέρη γ′ ἤ ΣΤ′,[1961] καὶ θαυμάσεις · τοῦτό ἐστιν τὸ θεῖον καὶ μέγα μυστήριον τὸ[1962] ζητούμενον, καὶ δυνάμενον πενίαν νικῆσαι καὶ ἐχθροὺς ἀπώσασθαι · εἶεν αὖθις.

4. ΕΤΕΡΑ ΕΡΜΗΝΕΙΑ. — < Λαβὼν > σανδαράχη, καλακάνθην,[1963] ἀρσενίκην, τεάφην καὶ (f. 160 r.) κιννάβαριν, ταῦτα ἕνωσον ὁμοῦ, καὶ τρίψας καὶ λειώσας, καὶ γλοιῶ-

1958. τοῦτο μὲν κ. τ. λ.] Dans B, ce morceau fait suite au précédent, sans titre en vedette. — Dans C, espace blanc pour quelques lettres.
1959. Le ms. B termine son fol. 181 avec ἀν, de ἀνθράκων, et commence son fol. 182 avec ἄμφω (ci-dessous, p. suiv., l. 4). Depuis ce dernier passage jusqu'à λαβὼν χαλκὸν (p. suiv., l. 23) le texte de B devient, à part quelques mots, absolument illisible, l'encre ayant pâli et même disparu. De plus, lors de la restauration du ms., on a recouvert ou enlevé les mots du bord extérieur.
1960. ἀψαμένης C. — βησίω CA ; βυσίω K. Corr. conj.
1961. FIXME
1962. θαυμάσης CK.
1963. Lire σανδαράχι, καλακάνθιν, etc.

δες τὸ μῖγμα ποιήσας, εἰς καθαρὸν ἔμβαλε ὕελον, τοῦτο ἔναι ἐπιβαλτάριον. Ἔστω οὖν τὸ στόμα αὐτοῦ στενώτερον τῆς κοιλίας αὐτοῦ, ὁποῖα δῆτά εἰσι τὰ θυροκύκλια. Καὶ τὸ στόμα ἐμφράξας μετὰ πηλοῦ, θέρμανον μεθ' ἡμέραν πυρήν · εἶτα δὲ ἀφελὼν τὸν πηλὸν, εὑρήσεις ξηρὸν τὸ μῖγμα, πυττητὴν[1964] σύστασιν ἐοικός. Τοῦτο οὖν αὖθις λειώσας, διὰ κεράμειον ἄγγος[1965] μετάγγισον · καὶ ὅλον περιλαβὼν, θὲς ἐγγύθεν πυρός · ἀνακαλύψας εὑρήσεις ξανθόν.

5. Καὶ μαγνησίαν δὲ εἰ λάβῃς λευκὴν, καὶ οἷον ὄγκον τοῦ ψήγματος εὕρῃς τὰ προοικονομηθέντα · εἶτα δὲ ἄμφω χλιάνας ῥεφανίνῳ ἐλαίῳ πέψιας · ἔστω σοι τῷ εἰς τῆς χωνίας ὑπέρξανθον · εἰ δὲ μὴ[1966] στίλβει τῷ χρώματι, ἄλατι χρίσας καὶ μίσυι καὶ σιδήρου ἰὸν συνωξιλιανθεῖσα,[1967] καὶ τὰς δυνάμεις κοινώσασοι τῶν ἐκ τοῦ πατελοῦ ψηγμάτων,[1968] τέλειον γενήσεται.

6. Εἰ δὲ χρυσὸν ἔχεις, διπλάσαι τὸν ὄγκον θελησείας, μηδὲν[1969] ἀφέλῃς τῆς ποιότητος, τοῦτον διασταθμίσας, ἀντιστάθμισον διπλάσια[1970] φάρμακα μίσυ καὶ ἐβένινον ῥίνισμα, ὡς οἰκείων τὸ ἐξ ἀμφοτέρων[1971] τοῦ χρυσοῦ τετραπλάσιον. Ταῦτα μίξας ἢ ἀνακράσας, περίπλασον τὸν[1972]

1964. F. l. πιττωτὴν.
1965. ἐοικὼς mss. F. l. ἔχον ?
1966. F. l. πέψεις. — F. l. τὸ εἰς τὴν χώνην.
1967. μίσιοι mss. — Lire ἰῷ σὺν ὄξει λειανθεῖσι ?
1968. F. l. κοινώσας. — παντελοῦ BC. — ψημάτων B ? CAK.
1969. F. l. θελήσεις.
1970. διασταθμήσας BCA. — ἀντιστάθμησον mss.
1971. βένηνον (B ?) CAK.
1972. F. l. ἀνακεράσας.

χρυσόν · καὶ οὕτως εἰς χώνην ἐμβαλὼν καὶ πυρώσας, ἐξένεγκε, καὶ εὑρήσεις τὸν χρυσὸν διπλοῦν.

7. Κιννάβαρις καὶ (f. 160 v.) ὁ χρυσίζων ἰὸς τοῦ χαλκοῦ, ὥσπερ τινὰ φυσικὰ εἴδη, σεληναίᾳ ὕλῃ ἐπιβληθέντα, σῶμα ποιοῦσιν χρυσοῦν.

8. Μόλυβδον ἀναλύσας πυρὶ, ἐπίρρανον τούτῳ τεάφην · καὶ χρῶ τῷ[1973] πυρὶ μέχρις οὗ ἡ ἀποφορὰ ἐξαθμηθῇ · εἶτα σχιστῆς στυπτηρίας καὶ κινναβάρεως ἐπὶ ἰσομέτρους ἄγγους λαβὼν, καὶ μίξας ἐν ὀξυμέλιτι,[1974] τηκομένῳ τῷ μολύβδῳ ἐπίρραινε, ὁμοίως τοῦτο τῷ θείῳ ἀπύρῳ ἵνα στερρὸς γεγονὼς ἐκ πάντων ἀποτελεσθῇ ὁ χρυσός.

9. Λαβὼν χαλκὸν, ἐξελάμνησον καὶ κόψον κομμάτια τετράγωνα, καὶ βάλε αὐτὰ εἰς τζουκάλην πήλινον, πάτον ἀπὸ τὸν χαλκὸν καὶ πάτον τριμμένην τεάφην, καὶ φράξας ἄνω τὸ στόμα καλῶς, ἤγουν μετὰ πηλοῦ, καὶ μετὰ τοῦτο βάλε τὸ τζουκάλιον αὐτὸ εἰς ἕτερον τζουκάλιον μέγα · καὶ ἀς ἔχει τρύπας νά σε βαίνει τὸ πῦρ, καὶ ἀπὸ τὸ στόμα καὶ ἀπὸ τὰς τρύπας · καὶ βάλε πῦρ ἰσχυρὸν καὶ ἀς βράσῃ ὥρας δ΄ · καίεται γὰρ τὸ χάλκωμα καὶ γίνεται τοιοῦτον ὅ τι τρίβεται ὥσπερ ἅλας[1975] · γίνεται δὲ τὸ λεγόμενον ῥασούχτην.

10. Εἶτα βάλε ῥασούχτην οὐγγίας πέντε ἥμισυ, σαλόνιτρον ἤγουν[1976] σκευοβότανον οὐγγ. γ΄, ὑδράργυρον οὐγγ.

1973. F. l. ἀναχύσας. — τοῦτο mss.
1974. ὄγγους C.
1975. χάλκομαν CA, ici et presque partout.
1976. βάλε] F. l. λάβε.

δύο, καὶ ἀνακάτωσέ τα ὅλα[1977] καὶ τρίψε τα ψιλὰ ὡς ἄλευρον. Τρίβε οὖν ταῦτα ἕως ὅτου νὰ μηδὲν[1978] φαίνεται ὁ ὑδράργυρος. Εἶτα εὑρὼν πινάκια δύο ὥστε στουμπόνεσθαι[1979] ἡρμοσμένα, καὶ μηδὲν ἐξέρχεσθαι εἰ δυνατὸν ἐξ αὐτῶν, οὐδὲ ὕδωρ. Εἶτα[1980] (f. 161 r.) χρίσον αὐτὰ μετὰ πηλοῦ ἐξ οὗ ποιοῦσι τὰ χωνία, ἢ, ἂν οὐχ[1981] εὑρίσκεται ἀπ' αὐτοῦ, ἀς ἔναι ἀπὸ τὸν πηλὸν ὅπου γίνονται τὰ πινάκια. Καὶ ἀφ' οὗ ἁρμόσῃς τὰ πινάκια καλῶς, ὅπου νὰ σέβῃ τὸ ἕναν εἰς τὸ ἄλλον μόνον τὰ χείλη των, τότε χρίσε αὐτὰ καλῶς · καὶ τὸ ἓν καυκίον,[1982] ἤγουν τὸ πινάκιον, χῶσαί το πάλιν εἰς τὸν πηλὸν αὐτὸν, καὶ στεγνώσαντος[1983] τοῦ πηλοῦ, ἄλειψον αὐτὸ εἰς τὰς ἁρμονίας, καὶ ὅλον τὸν γῦρον ἀ < πὸ > τοῦ[1984] αὐγοῦ λευκόν. Εἶτα τρύπησον τὸν πάτον τοῦ ἐπάνω καυκίου με τίποτας[1985] ὅπου νὰ ποιήσῃς τρῦπαν ὅσον σακκοράφης, ἢ καὶ μικροτέραν, ὅσον[1986] βελόνης χοντροῦ. Εἶτα ποίησον φουρνόπουλον, καὶ ἀνάβασε αὐτὸ στενὸν ἀπάνω, ὅσον νὰ χωρεῖ τὰ καυκία ἐπάνω ἡ τρῦπα, τὸ δὲ κάτω, ἀς ἔναι πλατύτερον, καὶ βάλε τὰ καυκία ἐπάνω εἰς τὸ φουρνάκιν, καὶ ἀποκάτω βάλε πῦρ ὀλίγον ἐν ἰσότητι

1977. ἀνακάτωσέ τα]. — La plupart des impératifs qui seraient en αι ou en ον dans le grec classique sont en ε dans ce texte.
1978. ναμη δὲν C.
1979. F. l. εὕρε.
1980. ἐξ αὐτῶν om. B (addition de C ?).
1981. ἐξ οὗ] ὅπου B.
1982. ἓν] F. l. πρῶτον.
1983. χῶσε AK.
1984. γύρον mss.
1985. τίποτε B ; τίποτες K. De même plus bas.
1986. σακοράφης mss.

· ἐπίθες δὲ εἰς τὴν τρῦπαν τοῦ ἐπάνω καυκίου μάχαιραν, ὅπου νὰ ἔναι ἡ μύτη της ξυντὴ, καὶ ἀς βράζει ἀγάλια · σήκονε δὲ τὴν μάχαιραν συχνῶς, καὶ βλέπε · καὶ ὅταν ἴδῃς ὅτι ἀναβαίνει ὡς ἀσήμην, τότε πάλιν ἀς βράζει κάλια. Πρῶτον γοῦν θέλει ἀναβαίνει σὰν θολὸς καπνὸς, καὶ ὕστερα ὁ ὑδράργυρος ὡς ἀσήμην. [1987]

11. Ὅταν γοῦν ἴδῃς τοῦτο, ἄφες τὸ πῦρ, καὶ στούμπονε τὴν τρῦπαν τοῦ καυκίου μετὰ πηλοῦ, καὶ ἄφες αὐτὰ ψυχρανθῆναι < τῆς νυκτός · > καὶ ἐπὶ τὴν αὔριον, ἔκβαλε αὐτὰ, ἀποχρίσας τὰ καυκία · καὶ τὸ μὲν τοῦ ἐπάνω καυκίου κράτει · τὸ δὲ ἄλλον πάλιν ἔχε καὶ (f. 161 v.) αὐτό · καὶ μάζωξε τὸν ὑδράργυρον ὅλον μὴ δὲν ἀφήσῃς ἀπὸ τοῦ ἐπάνω καυκίου τίποτας · ἔναι γὰρ κολλημένος εἰς τὸ [1988] ἐπάνω καυκίον · καὶ ξύσε τον ὅλον, καὶ ἔπαρέ τον · καὶ τότε βάλε ἀσήμην οὐγγίας δ΄, καὶ χάλκωμα οὐγγ. η΄, καὶ ἀνάλυσε [1989] πρῶτον τὸν χαλκὸν, καὶ ἀφ' οὗ ἀναλύσῃ καλῶς, βάλε καὶ τὸ ἀσήμην, καὶ τότε ἀφ' οὗ ἀναλύσῃ καὶ αὐτὸ, καὶ γένωνται τὰ δύο ἓν, τότε βάλε ἀπὸ τοῦ ξηρίου, ἤγουν ἀπὸ τοῦ ὑδραργύρου ὁποῦ ἐμάζωξες ἀπὸ τοῦ καυκίου ἕως μισῆς οὐγγίας · καὶ ἔσται σοι ὅλον [1990] καθαρὸς ἄργυρος καὶ τέλειος. Ὅταν γοῦν τὸ χύσῃς εἰς τὸν χύτην, βάνε το ἀπάνω με τζαπάρικον · εἰ δὲ καὶ κάλλιον θέλεις, βάλε καὶ [1991] ἄλλην

1987. ἀναβένην B ; ἀναβαίνη C. F. l. ἀναβαίνῃ.
1988. κολημένος B ; κολυμένος CAK.
1989. ἀνάλησε mss. F. l. ἀνάχυσαι.
1990. μισῆς] μησὴν BC ; ὕμισιν A ; ἥμησιν K. Corr. conj.
1991. βάνε] πάναι B. — ἐπάνω AK.

μισὴν οὐγγίαν ἀπὸ τοῦ κασσιτέρου, οὗπερ ἐμάζωξες ἐκ τοῦ[1992] καυκίου, καὶ ἔναι κρεῖττον.[1993]

✶
✶✶

1.3.17 6. — 17. Ο ΛΙΘΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.[1994]

Sous ce titre, il existe dans plusieurs manuscrits (A, f. 215 v. ; K, f. 104 r. ; E, f. 2 r. ; Lc, p. 341), *une compilation de morceaux déjà imprimés dans cette collection et tirés pour la plupart du traité de Zosime sur la Vertu et l'Interprétation* (3, 6). *Un premier paragraphe reproduit le texte d'Olympiodore* (2, 4, 1) *et le texte* 6, 14, 13, *avec des variantes sans importance. Les autres paragraphes résument les textes de Zosime* (3, 6, 1, 2, 5, 12) *déjà imprimés. On donnera seulement le texte suivant :*

1. Ζώσιμος · Κἀγὼ δὲ κόμαριν μέλλω ἑρμηνεῦσαι ὑμῖν. Ἡ κόμαρις[1995] μεμιγμένη μαργάρους ἀποτελεῖ. Ἐπεί γε αὐτὸν λίθον ἐκάλεσαν,[1996] πᾶν δὲ (ms. A, f. 216 r.) πνεῦμα

1992. ἄλην μεσὴν B ; ἑτέραν ἥμισυν C ; ἑτέραν ἥμισυ AK. — ἀπὸ τὸν κασσίτερον τὸν ἐμάζωσε ἀπὸ τοῦ καυκίου B. — ἐμάζωσας C.
1993. K mg. : *Hucusque* (main du 18e siècle ?).
1994. Titre dans E Lc : Ἀνεπιγράφου φιλοσόφου περὶ τοῦ φιλοσοφικοῦ λίθου.
1995. Ζώσιμος] καὶ πάλιν ὁ αὐτὸς (sc. Ζώσιμος) E. — μέλλω ἑρμ. ἡμῖν AK ; βούλομαι ὑμῖν ἑρμηνεύειν E Lc. — ἡ κώμαρις γὰρ E Lc.
1996. ἐπίγε AK. — ἐπεί γε — ξηρίου om. E Lc.

σεύει τῇ δυνάμει τοῦ ξηρίου · οὐδεὶς οὖν[1997] τῶν προφητῶν ἐτόλμησεν μυσταγωγῆσαι τῷ λόγῳ · ἀλλὰ καὶ αὐτοῖς[1998] νοήμοσιν παρέδωκαν ἀπέχεσθαι τὴν ὑηλυκὴν δύναμιν προτιμοτέραν[1999] αὐτῆς · αὕτη γὰρ καὶ μόνη λευκότης σεβασμία γέγονεν παντὸς προφήτου[2000] ἑρμηνείαι σὺν ἡμῖν καὶ τοῦ μαργάρου τὴν δύναμιν ἐργασίαν ἔχει[2001] τῷ ἐλαίῳ ἑψούμενος.[2002]

2. Λαβὼν μαργαριτάριν τὸ ἀττικὸν, ἔψε ἐλαίῳ οὐχ ὑποφίμῳ, ἀλλ' ἀπώμῳ,[2003] ἐπὶ ὥρας γ′, ἐπὶ μέσοις φωσί · καὶ λαβὼν ῥάκος ἐρίου ἔκθλιβε τῇ μαργάρῳ, ἵνα ἀποβάλλῃ τὸ ἔλαιον, καὶ ἔχε εἰς τὰς χρείας τῶν καταβαφῶν · ἡ γὰρ τελείωσις τοῦ ἐλαίου διὰ μαργάρων ἐστίν.[2004]

Puis viennent les reproductions d'axiomes déjà imprimés 3, 3 et 3, 4.

✶

✶✶

1997. σευεῖ AK. Cp. 3, 2, 2. — οὖν] δὲ E Lc.
1998. ἐτόλμ. ταύτην μυστ. E Lc. Cp. 3, 2, 1. — τοῖς K. — ἀλλὰ μόνον τοῖς E Lc. F. l. ἀλλὰ καὶ αὖ τοῖς.
1999. νοήμοσιν] νεύμασιν mss. — προτιμ. αὐτῆς οὖσαν E Lc. — F. l. προτιμοτάτην.
2000. ἡ λευκότης E Lc.
2001. ἑρμηνείαι — fin] om. E Lc, qui continuent avec la phrase μετὰ (γὰρ add. Lc) — βεβαία ξάνθωσις (imprimée p. 127, l. 19) et aj. : τέλος.
2002. ἑψούμενον K.
2003. μαργαριτάριον K. — Après ἐλαίῳ] F. suppl. ἐν ἀγγείῳ.
2004. Les mots ἐλαίου et μαργάρων semblent avoir été transposés.

1.3.18 6. — 18. ΠΕΡΙ ΤΟΥ ΛΙΘΟΥ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ. [2005]

Transcrit sur A, f. 216 r. — *Collationné sur* K, f. 104 v. ;— *sur* E, (*partie écrite par le copiste de* La, b, c), f. 191 r. ;— *sur* Lc (*copie de* E ; *mêmes variantes sauf indication contraire*), p. 153. — *Contenu aussi dans Laur., art.* 23, f. 177 r.

1. Ὁ περιβόητος φιλόσοφος ἐξ Ἀβδήρων, καὶ Ζώσιμος, καὶ Ἰωάννης ἀρχιερεὺς, Ἑρμῆς ὁ Τρισμέγιστος, καὶ Δημόκριτος, [2006] Ὀλυμπιόδωρος καὶ Στέφανος ἐν τῇ τῆς χρυσοποιΐας παραινέσει [2007] τὸν μολιβδόχαλκον ἐμυσταγώγησαν καὶ συμφωνήσαντες κατέστησαν ἀπὸ μολιβδοχάλκου, ἐν οἷς μετὰ πεῖραν καὶ τριβὴν καὶ τὴν τῆς ὕλης [2008] διάκρισιν ὑπόμνησιν ποιούμενοι παρακελεύουσιν ἀπέχεσθαι πάντων τῶν [2009] τὴν καυστικὴν δύναμιν ἐχόντων, ἀπό τε πυρὸς καὶ θείου καὶ πάντω ἀρσενίκων · ἐπεὶ ἡ ἐπιμιξία καὶ ἡ σφοδρότης πᾶσαν βλάβην καὶ [2010] ἀποτυχίαν ἐργάζεται, προσδέχεσθαι δὲ πάντα τὰ ἐξιδιάζοντα καὶ ὑγρὰν [2011] δύναμιν ἔχοντα, πρός τε μίξιν στοιχοῦντος καὶ τὴν τοῦ μολίβδου [2012] σύγκρασιν · (f. 216 v.) σύγκρασιν γὰρ καὶ συνουσίωσιν κα-

2005. Titre dans E : περὶ λίθου ἀνωνύμου τινός.
2006. καὶ Ἑρμῆς E, qui om. καὶ Δημόκριτος.
2007. καὶ Ὀλ. E.
2008. ἐν οἷς κ. τ. λ.] Déjà imprimé dans 6, 14 (= ⋆) § 2. — ἐν οἷς καὶ τὴν τῆς ὕλης ὑπόμν. π. E.
2009. ποιούμενοι παρακ.] ποιούμεθα παρακελευόμενοι ⋆;— παρακελεύονται E.
2010. τῶν ἀρσενίκων E. — ἐπεὶ om. ⋆.
2011. ἐργάζονται ⋆ E. — πάντα τὰ στοιχεῖα τὰ ἐξ. E.
2012. στοιχ. om. E.

λοῦσιν,[2013] πρῶτον διὰ χωνευτηρίου, ὕστερον δὲ καυματουμένην καὶ πλυνομένην,[2014] ἐπείπερ καὶ μαγνησίαν ταύτην καλοῦσιν ἐκ τοῦ ἀναμίγνυσθαι καὶ[2015] μάττεσθαι καὶ βάπτεσθαι κατὰ μίαν οὐσίαν τῆς συνουσιώσεως γινομένην[2016] τῆς κράσεως · μίξις δὲ παντὸς καὶ πάσης καθ' ὑγρὰς καὶ ἐν ὑγροῖς[2017] γίνεται, ὡς καὶ καταπλυνόμενα μετάγεσθαι λέγεται, ἢ πηλὸς, ὁμοίως[2018] καὶ ὡσαύτως ἢ λίνα καὶ μετάξια λευκαινόμενα.

2. Διὸ καὶ Ὀλυμπιόδωρος γράφει · « Ἐν τοῖς ὑγροῖς ἐπιστεύθη τὸ[2019] μυστήριον τῆς χρυσοποιΐας, διὰ ῥείθρων καὶ ῥευμάτων καὶ πλύνσεως τῆς καλουμένης ταριχείας καὶ ἀσκήσεως τὴν τοῦ μυστηρίου οἰκονομουμένην[2020] τελευτήν. Ταριχεία δὲ εἴρηται ἐκ τοῦ τὰ ῥεῖθρα χέειν καὶ[2021] ἀνάπτειν καὶ ἐπισυνυπακούειν ταῖς πλύνσεσιν δηλούσης ὅτι κατὰ τὰς[2022] πλύνσεις τὰ ῥεῖθρα χύνεται, ἵνα καθαίρηται τὸ σύν-

2013. γὰρ] δὲ E. — καλοῦμεν ⋆.
2014. πρῶτον τὴν διὰ χων. γενομένην σύγκρασιν (om. Lc) E Lc. — καὶ ὕστ. διὰ τῆς καύσεως πλυν. E. — χωνευστηρίου A. — καυμ.] καὶ ματτομένην ⋆.
2015. ἐπείπερ] εἶτα E. — καλοῦσιν] ἔνθεν ἐτυμολογοῦσιν ⋆.
2016. καὶ βάπτ. om. ⋆. — καὶ κατὰ Lc seul. — τῆς συν.] καὶ συνουσίωσιν ⋆.
2017. συγκράσεως ⋆; καὶ τῆς συγκράσεως E. — μίξις δὲ παντὸς] μάξις δὲ καὶ π. ⋆ — καθ' ὑγρῶν ⋆.
2018. τὰ πλυνόμενα ⋆. — λέγεται δὲ καὶ ὁ πηλὸς E.
2019. § 1] § 3 ⋆ (écourté ici). — Ὀλ. ἐν τῇ μεγάλῃ καταφάσει ἀποφηνάμενος ἀναγράφει ὡς τοῖς ὑγροῖς ... ⋆
2020. κατὰ τὴν E. — οἰκον. καὶ ἀναγραφεῖσαν τελευτὴν E.
2021. τελεὴν ⋆ (F. l. τελετὴν). La suite de notre § 2 manque dans ⋆.
2022. ταῖς] τῆς A; τοῖς K. — ταῖς πλ. δηλοῦσα E. F. l. τοῖς πλύνσιν δηλοῦσιν ὅτι.

θημα ἐκ τῆς ἀσκήσεως[2023] τοῦ φιαλοβωμοῦ. »

3. Ὁ Δημόκριτός φησι πρὸς τὸν βασιλέα · « Εἰ μὴ τὰς[2024] οὐσίας καταμάθῃς καὶ τὰς οὐσίας κεράσῃς, καὶ τὰ εἴδη νοήσῃς, καὶ τὰ γένη συνάψῃς τοῖς γένεσιν, εἰς μάτην τοῦ κόπου ἐπιχείρισας,[2025] ὦ βασιλεῦ. »

4. Καὶ ὁ Ζώσιμός φησιν · « Αὐτὸ γὰρ τὸ μυστήριον τῆς χρυσοβαφῆς[2026] · σώματα ὄντα, πνεύματα γίνονται, ἵνα ἐν τῇ καταβαφῇ τοῦ πνεύματος βάψει · » ἤγουν τὰ σώματα κατὰ τὴν σύγκρασιν τοῦ[2027] μολιβδοχάλκου, ὑδραργύρῳ κατηγλαϊσμένα πνεύματα γίνονται · ἀνθ' ὧν καὶ πρότερον ἐξυδατοῦνται καὶ καθέψηται διὰ ῥεύσεως τῆς κατ' αὐτὸ[2028] ταριχείας, καὶ ἀσκήσεως μεταβολῆς, καὶ ἐξαλλοιοῦνται ἐκ τοῦ σώματος.[2029] Πέφυκεν (f. 217 r.) γὰρ εἰς ἀσώματα ὑπερφυῶς ἐπὶ τὸ χρύσοπτον[2030] πάντα γίνεται.[2031]

5. Ὁ δὲ Ὀλυμπιόδωρός φησιν · « Χαλκομόλιβδος αἰτήσιος[2032] λίθος · ἐξῆς οὖν ὁμορρευστήσαντα ποιεῖ τούτοις τὴν διὰ πυρός · τὸ δὲ[2033] μόλιβδος περιδίδοται, καὶ τοῦτο

2023. χύνται AK ; χέονται E. — ἐκ τῆς ἀσκ. om. E.
2024. ὥσπερ καὶ αὐτὸς ὁ Δημ. K ; ὁ Δημόκριτος δέ φησιν E.
2025. τῷ κόπῳ E. — ἐπιχειρήσας K ; ἐπειχειρεῖς E. F. l. ἐπιχειρίσεις.
2026. § 4] Cp. ⋆ § 9, et Pélage, ci-dessus, 4, 1, 9, p. 258. — ἐν αὐτῷ γὰρ τῷ μυστηρίῳ E.
2027. βάψωσιν E.
2028. καθεψοῦνται E. — κατ' αὐτὸ ταρ.] κατὰ τὴν ταρυχείαν ⋆.
2029. μεταβάλλει ⋆. — ἐξαλλειοῦται AK.
2030. πέφηκεν AK ; πεφυκέναι ⋆. — εἰς ἀσώματον ὑπερφυΐαν ⋆, qui aj. : ἐκ τοῦ μολυβδοχάλκου χρώματος.
2031. γίνεσθαι E.
2032. § 5] Cp. ⋆, suite du § 9.
2033. λίθος ἐστίν · E. — ἐξίσου οὖν E. — ὁμορρευστήσαντος ⋆. — ἐν τούτοις E. — τὴν] τὸν E. — ὁ δὲ μόλ. E.

τοῦ πυρός. » Τὸ γὰρ « ἐξίσου ὁμορρευστήσαντα[2034] » οὐχ ὕλης προσθήκην ἐπέβαλεν, ἀλλὰ τὴν τῆς ὕλης ῥεῦσιν,[2035] ὅτι τῶν τριῶν ἅμα κατ' αὐτῶν γινομένων ῥεῦσαι ποιεῖν δεῖ · καὶ[2036] πρότερον τὸ ἐξίσου συγκείμενον · καὶ ὅτι οὐχὶ τὸ μὲν ῥεῦσαι ποιεῖν χρὴ ἢ τὰ δύο μόνα, ἀλλ' ἐξίσου ὁμοῦ τὰ τρία ἐν μιᾷ συγκράσει[2037] γινόμενα. Τὸ δὲ « ὁμορρευστήσαντα » δηλοῖ τὸ ἅμα ἐξῆς δῆ ποιεῖν ῥεῦσαι.[2038]

6. Λίθος δὲ καλεῖται διὰ τὸ λιτὴν ποιεῖ τὴν αὐτοῦ περιουσίαν[2039] · οὐ γὰρ κατ' αὐτοῦ μένουσα ἡ φύσις τοῦ ὕδατος τοῦ θείου δρᾶν τι δύναται,[2040] ἀλλὰ μετάλλων συντεθειμένων τῶν τὴν σύνθεσιν ἐχόντων εἰς συνουσίαν,[2041] τοῦτο ποιεῖν καὶ τὰ μεγάλα ταῦτα ἐργάζεται. Ἔοικε γὰρ τὰ[2042] στερεὰ σύνθετα εἶναι, καὶ εἰ μὴ ταῦτα συμπλακῇ τοῖς ὑγροῖς, οὐδὲν δύναται ποιεῖν, ὁμορρευστὴ δὲ τὰ χρύσοπτα πάντα ποιεῖν · αὐτὰ γὰρ[2043] καθ' ἑαυτὰ στερεὰ ὄντα εὑρίσκεται ἄρρευστα, καὶ ῥεῦσαι οὐ δύνανται, ἐὰν μὴ τοῖς ῥευστοῖς διαλυθείη ἢ ἐξυδατωθείη.[2044]

7. Ὁ Ζώσιμος δέ φησιν · « Μὴ φοβηθῇς κ. τ. λ. (Repro-

2034. περιδίδοται] F. l. παραδίδοται. Cp. ⋆ : παραδίδωσιν, dans la phrase correspondante. — καὶ οὗτος ἐκ τοῦ πυρός E.
2035. ἐπέβαλεν] ὑποβάλλει ⋆.
2036. καθ' αὐτῶν E.
2037. χρὴ] δεῖ E.
2038. γενόμενα E. — δῆ] δεῖν E.
2039. § 6] Cp. ⋆, § 12. — λιτὴν] λιτὸν ⋆. — ποιεῖν E.
2040. κατ' αὐτοῦ] καθ' ἑαυτὴν E ; καθ' αὐτὴν Lc.
2041. μετ' ἄλλων E. — συντεθειμένη E.
2042. ποιεῖ E.
2043. ὁμορρευστοῦσι E. — ποιεῖν om. E.
2044. ἢ] καὶ E.

duction d'un passage déjà donné, 3, 6, 13, page 129, lignes 5 à 15).

8. Ἐξάτμησις οὖν τοῦ ὕδατός ἐστιν ἡ ἐκλέπτησις. Ἐγὼ δὲ θαυμάζω[2045] πῶς τὸ ἡμέτερον σπούδασμα, ἢ ἄρα ἐκ τῆς ἀναδόσεως καὶ[2046] αἰθάλης τοῦ θείου ὕδατος δύναται ἕψεσθαι καὶ χρωΐζεσθαι τὸ ἡμέτερον[2047] σύνθημα.

9. Ὁ Στέφανος λέγει · Ὅρος φιλοσοφίας κ. τ. λ. (Voir 3, 6, 23, p. 136, l. 10.)

Viennent ensuite une suite de morceaux déjà publiés, tirés de Zosime, de Jean l'Archiprêtre, de Stephanus, de Comarius, d'Olympiodore, etc., avec des portions abrégées et des lacunes.

✶
✶✶

1.3.19 6. — 19. ΙΕΡΟΘΕΟΥ ΠΕΡΙ ΤΗΣ ΙΕΡΑΣ ΤΕΧΝΗΣ.[2048]

Transcrit sur K, f. 94 r. — *Contenu aussi dans les mss. de Vienne med. gr.* 51 et 52, *art.* 28.

2045. ἐκλέπτυνσις E, mel.
2046. σπούδασμα γίνεται, εἰ ἄρα E, f. mel.
2047. F. l. αἰθαλώσεως.
2048. Fabricius (éd. Harl., t. 11, p. 636) distingue cet Hiérothée de l'alchimiste, auteur du poème iambique publié par Ideler.

1. < Λαβὼν > σιδήρου στομωμένου μέρος α′, στίμεως ἰταλικοῦ μέρος[2049] α′, πάντα λείωσον καὶ νιτρελαίῳ, κατασπῶν ἔχε καὶ ἴσῳ αὐτοῦ χαλκῷ ἰταλικῷ χώνευε · καὶ ῥινίσας ποίει μάλαγμα σὺν χρυσῷ, καὶ ἔασον ἡμέρας γ′, καὶ λάβε θείου μέρος α′, μύσεως μέρος α′, λείωσον[2050] · καὶ λαβὼν τὸ μάλαγμα, στρῶσον, ἐπίστρωσον αὐτό, καὶ κατάσπα · καὶ τοῦτον λαβὼν μέρη γ′, χρυσὸν μέρος α′, χώνευσον καὶ εὑρήσεις ὃ ζητεῖς.

2. Εἰ δὲ βούλει βέλτιον γενέσθαι, οἰκονόμησον τὸ μάλαγμα καὶ ταρίχευσον ἀφρόνιτρον, ἕως οὗ γένηται ῥευστὸν < ὡς > ὑδράργυρος[2051] · τοῦτο αἰθάλιζε ζ′, καὶ διχοτόμησον εἰς δύο μέρη · καὶ τὸ μὲν ἓν μέρος[2052] εἰσάγαγε ἐν τῇ σήψει, ἕως οὗ γένηται ὕδωρ, τὸ δὲ ἄλλο ἥμισυ σύμμιξον αὐτῷ χρυσῷ τὸ τρίτον αὐτοῦ μέρος καὶ χαλκοῦ ἰταλικοῦ καὶ σιδήρου κατασπασθέντος κατὰ τῆς πρώτης συντάξεως τὸ ΣΤον μέρος. Ταῦτα πάντα λειῶν, πότιζε τῷ ὕδατι τῆς ὑδραργύρου ὃ ἔλυσας, καὶ παρόπτα.[2053] Οὕτω ποίησον ἕως οὗ ἀναλωθῇ τὸ ὕδωρ, καὶ σύμμιξον αὐτῷ ὀλίγον θεῖον, ἵνα διαδύῃ τὸ φάρμακον, καὶ εἴσκρινε. Οὕτως οἰκονόμει ἕως οὗ γένηται κιννάβαρις.[2054]

3. Τοῦτο χρῶ, συνεργοῦντος Ἐμμανοὴλ τοῦ ζωαρχικοῦ, τοῦ θεοῦ λόγου, καὶ ἀπαύγασμα τοῦ ἁγίου πνεύμα-

2049. στομωμένου] στμ K. Lecture conjecturale.
2050. λάβε] F. l. λαβὼν.
2051. ἀφρόνιτρον] Φρ Νρ K.
2052. ζ′] Lire ἑπτάκις.
2053. λειῶν] signe de λείωσον et de τρίβε K. — τὸ υδ K.
2054. κιννάβαρις] signe du cinabre (et quelquefois du soleil ou de l’or) K.

τος · αὐτὸς γάρ ἐστιν ὁ[2055] σωτὴρ καὶ δοτὴρ καὶ αἴτιος πάντων ἀγαθῶν. Δι' αὐτοῦ τελεῖται τοῖς πιστοῖς καὶ ἀξίοις τοῦτο τὸ θεῖον μυστήριον, τὸ ψυχῆς ἴαμα, καὶ παντὸς μόχθου λύτρον. Ἄλλος τις τοῦτο εὑρηκὼς καὶ δοθεὶς παρὰ Θεῷ,[2056] καὶ οἰκονομῶν, καὶ τυχῶν τῶν ἐφιεμένων, δέδεται ὑπὸ τοῦ ὑψίστου Ἐμμανουὴλ, ὑπουργὸς καὶ οἰκονόμος αὐτοῦ γενήσεται ἐν ταύτῃ τῇ θείᾳ τέχνῃ, καὶ ἐν ἅπασι, καὶ τὸ δέκατον μέρος εἰς οἰκοδομὴν τῶν ἁγίων ἐκκλησιῶν, καὶ εἰς περιποίησιν πτωχῶν, ὑπέρ τε αὐτοῦ καὶ ὑπὲρ τῶν ἐμῶν ἀναγκῶν ἐγκλημάτων ποιήσαντος καὶ μέσον βίου διάγεσθαι,[2057] ἵνα ἀφθόνως ἡ ὕπαρξις αὐτοῦ γενήσεται, καὶ μήτε χρημάτων καὶ ὑψαυχίαν[2058] καὶ δαψιλῶν πραγμάτων κομίσειεν, μηδὲ πενίαν αὖθις ἐνδείξηται, τὸ χαλεπὸν πάθος καὶ ἀνίατον, μᾶλλον δὲ λάμπων καὶ πλουτῶν ἐν θείαις ἀρεταῖς καὶ ἁγναῖς πράξεσιν, ἐν ταπεινοσοφροσύνῃ καὶ ἐλεημοσύνῃ, καὶ ἀγαπῇ ἀνυποκρίτῳ λιταῖς ποιούμενος ὑπὲρ ἐμοῦ τοῦ ταῦτα[2059] ἀφθόνως καὶ ἁπλῶς ἐκθήσαντος, ἵνα τύχωμεν ἄμφω τῆς ἀκηράτου καὶ αἰωνίου βασιλείας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν · ἧς γένοιτο τυχεῖν πάντας ἡμᾶς δι' ἐντεύξεων καὶ λιταῖς τῆς παναμώμου καὶ θεοτόκου Μαρίας, καὶ Ἰωάννου τοῦ τρισμάκαρος καὶ προδρόμου, ἅμα τε καὶ τῆς ἀκηράτου ὁμηγύρεως τῶν θείων ἀποστόλων προφητῶν

2055. θεοῦ en signe K. F. l. θείου λόγου ? θεολόγου ?
2056. καὶ δοθεὶς παρὰ Θεῷ] F. l. ὡς δοθὲν παρὰ Θεοῦ.
2057. F. l. ἐγκλήματα.
2058. καὶ ὑψ.] F. l. τὴν ὑψαυχίαν.
2059. F. l. λιτὰς.

τε αὖθις καὶ πάντων τῶν ἁγίων γένοιτο · ἀμήν.

✶

✶✶

1.3.20 6. — 20. Nicéphore Blemmidès. — Chrysopée. [2060]

ΠΕΡΙ ΤΗΣ ΩΟΧΡΥΣΟΠΟΙΙΑΣ ΗΣ ΜΕΤΗΛΘΕΝ Ο ΣΟΦΩΤΑΤΟΣ ΕΝ ΦΙΛΟΣΟΦΟΙΣ ΚΥΡΙΟΣ ΝΙΚΗΦΟΡΟΣ Ο ΒΛΕΜΜΙΔΗΣ · ΚΑΙ ΗΥΜΟΙΡΗΣΕ ΤΟΥ ΣΚΟΠΟΥ ΤΗ$_{\text{I}}$ ΣΥΝΕΡΓΕΙΑ$_{\text{I}}$ ΤΟΥ ΠΑΝΤΑ ΕΞ ΟΥΚ ΟΝΤΩΝ [2061] ΕΙΣ ΤΟ ΕΙΝΑΙ ΠΑΡΑΓΑΓΟΝΤΟΣ ΧΡΙΣΤΟΥ ΤΟΥ ΑΛΗΘΙΝΟΥ ΘΕΟΥ ΗΜΩΝ, Ω$_{\text{I}}$ ΠΡΕΠΕΙ ΔΟΞΑ ΕΙΣ ΑΙΩΝΑΣ ΑΙΩΝΩΝ · ΑΜΗΝ.

Transcrit sur le ms. de Paris 2509 (= F), f. 137 r. — *Collationné sur* E (*copie directe* (?) de F *faite par le copiste de* L a, b, c), f. 159 r. — *Scolies à la marge, de première main. Nous les rejetons en note au moyen d'un astérisque.*

1. Λαβὼν σὺν θεῷ λίθον οὐ λίθον, ὃν λέγουσι λίθον τῶν σοφῶν, [2062] ἐν ᾧ εἰσι τὰ δ΄ στοιχεῖα, γῆ, ὕδωρ, ἀὴρ καὶ πῦρ, τουτέστιν ὑγρὸν, [2063] θερμὸν, ψυχρὸν καὶ ξηρὸν, λαβὼν

2060. Σημ < είωσαι > ὅτι ἀδύνατον ἵνα καυθῇ ἡ ἄσβεστος να γένη ψιμμίθιον χωρὶς να καυθῇ ἡμέρας η΄ εἰς τὴν κάμινον τοῦ ὑελοψοῦ.
2061. Titre dans E : Νικηφόρου τοῦ Βλεμμύδου περὶ χρυσοποιΐας.
2062. ἐξ οὐκ ὄντων] ἐξουκούτων F. Corr. conj.
2063. L'initiale de chaque paragraphe est en rubrique dans F. — λίθον τὸν οὐ λίθον E.

οὖν τὸ ἓν τῶν δ΄ στοιχείων, ἤτοι τὴν γῆν, τὸ ψυχρὸν καὶ ξηρὸν, ὅπερ ἐστὶν ὁ φλοιὸς τῶν ὠῶν,[2064] πλύνας καὶ καθάρας, ψύξας καὶ τρίψας καλῶς, ἔμβαλε εἰς χύτραν[2065] · καὶ φράξας τὸ στόμα τῆς χύτρας μετὰ πηλοῦ πυριμάχου, < θὲς > εἰς[2066] κάμινον ὑελοψοῦ · καῦσον ἡμέρας η΄,[2067] ἄχρις ἂν λευκάνῃ · καὶ ἔχε[2068] πεφυλαγμένον · αὕτη γάρ ἐστι ἡ περιώνυμος ἄσβεστος. Φύλαξον.[2069]

2. Μετὰ δὲ ταῦτα, λαβὼν τὸ ἐνδότερον λευκὸν, θὲς αὐτὸ ἐν κλοκίῳ[2070] · καὶ ἐν στόματι τοῦ κλοκίου ἐπίθες ἄγγος μασθωτὸν ὅπερ λέγεται[2071] ἄμβυξ · ἔστω δὲ πεφραγμένον καλῶς, καὶ συντεθειμένον μετὰ γύψου[2072] · καὶ ἀνάσπα τοῦτο ὡς ῥοδόσταγμα · καὶ ἔχε πεφυλαγμένον[2073] ἐν φιάλῃ. Φύλαξον.

3. Εἶτα λαβὼν ἀπὸ τῆς ἀσβέστου[2074] μέρος ἓν, καὶ ἀπὸ

2064. καὶ om. E. — τουτέστιν ξηρὸν, ὑγρὸν, ψυχρὸν, θερμὸν E.
2065. τὸ ξ. καὶ ψ. E.
2066. καὶ πλύνας E. — καὶ ψύξας E. — τρίψας] signe de τρίβε dans F, et au-dessus : ἤγουν τρίψας, à l'encre rouge.
2067. θὲς add. E.
2068. ὑελοεψοῦ E, ici et partout. On ne connaît que ὑελέψης, ὑελέψου. — καὶ καῦσον E. — ⋆] Ce 1er renvoi a pour signe, dans F E, le sigle de ὅτι. E, entre ce signe et la scolie, ajoute : σχόλια ἐν πεζῇ φράσει, comme si le corps du texte était en vers.
2069. φύλαξον écrit toujours en rubrique F ; omis dans E, ici et presque partout.
2070. κλοκ.] κλωκ. E, ici et partout. On ne connaît que κοχλίον (en grec ancien, coquille) et κοκλίον, κοκλί (en néogrec, vase de nuit).
2071. μαστωτὸν E.
2072. Ὁ γύψος ὀφείλει εἶναι παλαιὸς, ἀπὸ ἐκκλήσιας.
2073. Ἡ ἄσβεστος ἐνταῦθα ὀφείλει εἶναι οὐγγίας δ΄, καὶ τὸ ὕδωρ τὸ ἄπαξ ἀνασπασθὲν, οὐγγ. λ ΣΤ΄.
2074. Ἔχεις ἐνταῦθα καὶ ἄσβεστον σεσημμένην (σεσημένην F) · τὸ δὲ

σταχθέντος[2075] ὕδατος μέρη ἐννέα, ἐνώσας, ἔμβαλε. Καὶ φράξον ἀσφαλῶς ὡς τὸ πρότερον · καὶ ἀνάσπα τοῦτο ὡς ῥοδόσταγμα. Ἔστω δὲ κλοκίον τοῦτο ὑέλινον · τὸ γὰρ πρῶτον ὀστράκινον ὀφείλει εἶναι. Καὶ τὸ[2076] ἀποσταχθὲν στρέψον πάλιν εἰς τὴν αὐτὴν τέφραν · καὶ ἔξελε καὶ βάλε πάντα ὁμοῦ εἰς φιάλην ὑέλινον · καὶ τὸ στόμα αὐτῆς φράξον[2077] μετὰ πανίου καὶ γύψου καλῶς · καὶ χῶσον ἐν κόπρῳ ἱππείᾳ ἡμέρας[2078] μ΄ · εἰ δ' ἔστι σποδὸς, ἡμέρας κα΄. Φύλαξον.[2079]

4. Εἶτα ἐκβαλὼν τοῦ κόπρου, ἔμβαλε τῷ κλοκίῳ, καὶ ἀνάσπα ὡς[2080] πρότερον, καὶ πάλιν ὁμοῦ πάντα λαβὼν, τό τε ὕδωρ καὶ τὴν ὕλην[2081] βάλε εἰς φιάλην ὑέλινον, καὶ σῆψον ἐν κόπρῳ ἱππείᾳ ὡς τὸ πρότερον[2082] · (f. 137 v.) καὶ ἐξελὼν τῆς κόπρου, θὲς αὐτὰ ὁμοῦ ἐν κλοκίῳ, καὶ ἀνάσπα ὡς τὸ πρότερον, καὶ ἔχε ἐν φιάλῃ. Φύλαξον.[2083]

5. Τοῦτο λέγεται ὕδωρ θεῖον, καὶ ὕδωρ ἀσβέστου, καὶ ὕδωρ[2084] θαλάσσιον, καὶ ὄξος, καὶ ὑδράργυρος, καὶ γάλα

ὕδωρ ὀφείλει εἶναι διὰ τὰς ἀνασπάσεις καὶ τρίψεις, καὶ ἐπαρδεύσεις οὐγγίας λα΄.

2075. E om. la scolie. — Les signes de renvoi à partir de celui-ci, sont les signes du zodiaque (1. Bélier, 2. Taureau, etc.) jusqu'à la Balance inclusivement. (Mêmes figures que dans 5, 20.)

2076. καὶ ἐνώσας E.

2077. τὸ γὰρ — εἶναι entre parenthèses E.

2078. ὑελίνην E (mel.) ; plus bas (l. 14) : ὑέλινον.

2079. εἰς κόπρον ἱππείαν E.

2080. φύλαξον est en marge de F.

2081. ἐκ τῆς κόπρου E, mel.

2082. ὁμοῦ en signe tachygraphique F ; om. E, ici et plus loin.

2083. ὡς καὶ τὸ πρότ. E.

2084. τοῦτο λέγεται κ. τ. λ.] Cp. 3, 25, 1. — Après ὕδωρ θεῖον (n° 1), le

παρθένου, καὶ οὖρον παιδὸς ἀφθόρου, καὶ ὕδωρ στυπτηρίας, καὶ ὕδωρ σποδοκράμβης, καὶ ὕδωρ νίτρου, καὶ ὕδωρ πρωτοστάκτου, καὶ ἕτερα ὀνόματα. Τοῦτο ὑπάρχει τὸ θεῖον ὕδωρ δι' οὗ λευκαίνεται τὸ σῶμα τῆς μαγνησίας, ὅπερ λέγουσι χαλκὸν κεκαυμένον, ὅπερ ἐστὶν ἡ τέφρα ἡ μέλλουσα γενέσθαι ἀπὸ τοῦ κροκοῦ τῶν ὠῶν.[2085]

6. Ὀφείλει δὲ λαβεῖν ἕτερα φροῦστρα ἄκαυστα ὠῶν,[2086] καὶ τρίψαι καλῶς, καὶ βαλεῖν αὐτὰ ἐν κλοκίῳ ὑελίνῳ, καὶ ὕδωρ ἀνάσπαστον χωρὶς[2087] ἀσβέστου ἅπαξ. Ἔστω δὲ ἀπὸ ὕδατος τούτου ὅσον μέρη τρία, οἱ δὲ φλοιοὶ μέρος ἕν. Καὶ τοῦτο στάξον πάλιν τρὶς, χωρὶς σήψεως · καὶ κατὰ μίαν στάξιν, ῥίψον τοὺς φλοιοὺς, καὶ βάλε ἑτέρους τὸ αὐτὸ ποσόν · τῆς δὲ τρίτης φορᾶς ἔχε ἐν φιάλῃ ἀποτιθέμενον.

7. Εἶτα λαβὼν ἄσβεστον νεαρὰν,[2088] μίξον ταύτην μετὰ ὕδατος τούτου[2089] καλῶς. Ἔστω δὲ τὸ ὕδωρ τοῦτο μέρη τρία, καὶ ἡ ἄσβεστος μέρος ἕν · καὶ τοῦτο θὲς ἐν φιάλῃ. Καὶ φράξον τὸ στόμα τῆς φιάλης καλῶς, καὶ σῆψον εἰς κόπρον ἱππείαν ἡμέρας μ΄ · εἰ δέ ἐστι σποδὸς, κα΄.

8. Εἶθ' οὕτω λαβὼν κροκὰ τῶν ὠῶν, θὲς αὐτὰ ἐν κλοκίῳ

ms. E donne les corps dans l'ordre suivant : 8, 10, 9, 11, 4, 5, 6, 7.

2085. Ταῦτα ὀφείλουσιν εἶναι οὐγγίας ιη΄ εἰς γ΄ φορὰς, καὶ τὸ ὕδωρ οὐγγίας ιη΄.

2086. Ὀφείλει εἶναι αὕτη ἡ ἄσβεστος οὐγγίας ε΄, ἐπειδὴ μέλλει φυράσειν τὸ νερὸν εἰς τὰς τρεῖς φορὰς, να γένωνται οὐγγίας ιε΄.

2087. Τοῦτο τὸ ἔλαιον ὀφείλει εἶναι οὐγγίας ιε΄.

2088. Ἡ τοιαύτη ἄσβεστος, ὡς οἶμαι, ὀφείλει εἶναι αἱ ε΄ οὐγγίας (οὐγγίαι E, f. mel.) αἱ εἰσαχθεῖσαι εἰς τὰς ιε΄ οὐγγίας τὸ νερὸν τὸ ἀνέσπασες (ὃἀνέσπασας E) τρεῖς φορὰς μετὰ τῶν ἀκαύστων (ἀκαυστον. *sic*, F) φλοιῶν.

2089. ἕτερα — ὠῶν] ἑτέρους φλοιοὺς τῶν ὠῶν ἀκαύστους E.

ὀστρακίνῳ,[2090] καὶ στάξον ταῦτα ὡς ῥοδόσταγμα μετὰ πυρὸς δυνατοῦ · τῶν γὰρ[2091] προειρημένων τὸ πῦρ ἔστω μαλακώτερον. Ἔστω δὲ τὸ περίφραγμα καλῶς ποιηθέν · καὶ δέχου ἐπ' αὐτῶν ἔλαιον κόκκινον.[2092]

9. Τοῦτο τὸ ἔλαιον[2093] λαβών, ἔνωσον μετὰ τῆς σεσημμένης ἀσβέστου[2094] τῆς εἰρημένης τῶν φλοιῶν · ἔστω δὲ ἀπὸ τῆς λελεγμένης ἀσβέστου μέρος α′, καὶ ἀπὸ τοῦ ἐλαίου μέρη γ′ · καὶ τοῦτο ποίησον ὡς τὸ τῆς ἀσβέστου ὕδωρ, τουτέστι στάξον καὶ σῆψον · καὶ πάλιν στάξον καὶ σῆψον · καὶ (f. 138 r.) στάξας, ἔχε τέλειον. Φύλαξον.

10. Τὴν δὲ ἀπομένουσαν τέφραν τῶν κροκῶν λεύκανον μετὰ τοῦ αου θείου ὕδατος τῆς ἀσβέστου · αὕτη γάρ ἐστιν ἡ μαγνησία.

11. Ταύτης τῆς μαγνησίας λαβὼν μέρη δ′,[2095] καὶ ἀπὸ τῆς ἀσβέστου[2096] τῆς ἀπομεινάσης ἐν τῷ κλοκίῳ μέρος α′, ἤγουν τὸ εον, τρίψον καλῶς ἀμφότερα ἐν μαρμάρῳ ὥστε ἀραιωθῆναι καὶ λεπτυνθῆναι τελείως μετὰ ὀλίγου ὕδατος τοῦ ἀπὸ τῆς ἀσβέστου, καθὼς ποιοῦσιν οἱ ζωγράφοι · καὶ ψύξας, βάλε ἀπ' αὐτοῦ ἐν κλοκίῳ μέρος ἓν, καὶ ἀπὸ τοῦ ὕδατος τῆς ἀσβέστου μέρη γ′. Ἔστω γοῦν ἐνταῦθα τὸ κλοκίον

2090. αὐτὰ] αὐτοὺς E.
2091. μετὰ τοῦ ὕδατος τούτου E.
2092. κρόκους E. — αὐτοὺς E.
2093. αὐτοὺς E.
2094. ἀπ' αὐτῶν E.
2095. ΣT^{γ} δ′ κε (= κεράτια) κ′. ΣT^{γ} α′ κε ε′.
2096. Ἡ τοιαύτη ἄσβεστος ἔνι (ἐστιν E) ἡ αη ἡ ἀπὸ θείου ὕδατος τοῦ λευκοῦ, ἐπεὶ (ἐπειδὴ E) βούλει λευκάναι τὴν μαγνησίαν.

ὑέλινον · καὶ ἀνάσπα τοῦτο ὡς ῥοδόσταγμα, καὶ δέχου τὸ σταχθὲν ἅπαν ἐν ἀγγείῳ ὑελίνῳ.

12. Εἶθ' οὕτω τὸ ἐναπομεῖναν ξηρὸν ἐν τῷ κλοκίῳ πάλιν βάλε ἐν[2097] μαρμάρῳ · καὶ τρίβε τοῦτο ὀλίγον πρὸς ὀλίγον μετὰ τοῦ ἀποσταχθέντος[2098] ἐξ αὐτοῦ · καὶ ἔασον τοῦτο ξηρανθῆναι ἐν σκιᾷ · καὶ τοῦτο ποίει ἄχρις οὗ δαπανηθῇ ἅπαν τὸ σταχθὲν ὑγρόν.

13. Εἶτα τρίψας αὐτὸ τὸ ξηρίον, θὲς ἐν κλοκίῳ, καὶ μετ' αὐτοῦ[2099] ἕτερον ὕδωρ ἀσβέστου. Ἔστω δὲ τὸ ὕδωρ μέρη τρία καὶ τὸ ξηρὸν μέρος α΄ · καὶ ἀνάσπα τοῦτο, καὶ τρίβε, ὡς εἴρηται, ἄχρι φορῶν ε΄.

14. Τὴν δὲ εην φορὰν λαβὼν ἅπαν τὸ σταχθὲν ὑγρὸν, ἔνωσον μετὰ τοῦ ἐναπομείναντος ξηροῦ · καὶ λαβὼν ἀμφότερα ἐν βικίῳ ὑελίνῳ, χῶσον[2100] εἰς κόπρον ἡμέρας μ΄, ἢ ὅσον βούλει.

15. Εἶτα πάλιν στρέψον αὐτὸ ἐν τῷ κλοκίῳ τῷ ὑελίνῳ, καὶ ἀνάσπα ὡς πρότερον · καὶ ὅταν ἀποσταχθῇ τὸ ἥμισυ τοῦ ὑγροῦ, ἀνοίξας τὸ κλοκίον, στρέψον πάλιν τοῦτο ἐν αὐτῷ · καὶ τοῦτο ποίησον ἄχρι φορῶν ε΄.

16. Εὑρήσεις δὲ τοῦτο τὸ σημεῖον ἐν αὐτῷ, οὐχ ὡς πρότερον ἀποστάζον, ἀλλ' ἀνειμένως καὶ βραδέως.

17. Μετὰ δὲ τὴν εην φορὰν δέχου ἅπαν τὸ (f. 138 v.) σταχθὲν ἐν βικίῳ · καὶ τὸ ἐναπομεῖναν ξηρὸν ἐν τῷ κλοκίῳ

2097. τὸ ἐναπομ. πάλιν E. — ξηρὸν] F. l. ξηρίον.
2098. τρίβε] F. l. λείωσον.
2099. τρίψας en signe, et au-dessus, en toutes lettres. F. l. λείωσον.
2100. λαβὼν] F. l. βαλὼν.

θὲς ἐν μαρμάρῳ · καὶ τρίψας τοῦτο μετὰ τοῦ ἐξ αὐτοῦ σταχθέντος ὑγροῦ, καὶ ἔασον ψυγῆναι ἐν σκιᾷ · καὶ τοῦτο ποίει ἕως ἂν πίῃ ἅπαν τὸ ὑγρόν · καὶ ἐν τῷ τρίβειν καὶ ποτίζειν αὐτὸ εὑρήσει ὅτι λευκάνεται · καὶ ἡ λευκότης αὕτη ὑπάρχει[2101] σύμβολον τῆς ἐρυθρότητος.

18. Δεῖ δὲ τοῦτο λευκανθῆναι καλῶς. Εἶθ' οὕτω θὲς αὐτὸ τὸ λευκανθὲν ἐν βικίῳ ὑελίνῳ · καὶ θὲς πάλιν εἰς αὐτὸ ἀπὸ τοῦ ὕδατος τῆς ἀσβέστου ὅσον μέρη γ′ · τοῦτο δὲ ἔστω μέρος α′. Καὶ ἐνώσας καλῶς, χῶσον ἐν κόπρῳ ἡμέρας ἑτέρας.[2102]

19. Εἶθ' οὕτως ἐκβαλὼν, ἀνάσπα, καὶ δέχου τὸ ὑγρὸν, καὶ στρέψον τοῦτο ἐν αὐτῷ, καὶ ἀνάσπα ἐκ δευτέρου · καὶ δέχου ἅπαν τὸ ὑγρὸν, καὶ φύλαξον. Τὸ δὲ ἐναπομεῖναν ἐν τῷ κλοκίῳ εὑρήσεις τοῦτο λευκὸν, μαρμάρῳ παρεμφερές. Τοῦτο λαβὼν, ὁμοίως φύλαξον.

20. Εἶτα λαβὼν ἀπὸ τοῦ μαρμάρῳ παρεμφεροῦς εἴδους μέρος α′, καὶ ἀπὸ τοῦ ὕδατος τοῦ ἐξ αὐτοῦ σταχθέντος ἕτερον μέρος α′, καὶ ταῦτα ὁμοῦ ἐνώσας καλῶς, θὲς εἰς ὑέλινον κλοκίον μὴ ἔχον ἄμβικα,[2103] ἀλλὰ σφραγίσας καὶ ἐμφράξας αὐτοῦ τὸ στόμα μετὰ σκεπάσματος μολυβδίνου καλῶς, καὶ τὸ ῥηθὲν ὑέλινον κλοκίον ἀλείψας μετὰ[2104] πηλοῦ πυριμάχου λεπτὸν ἄλειμμα.

2101. F. l. εὑρήσεις.
2102. ἡμ. ἑτ. μ′, ἢ ὅσον βούλει E.
2103. ὁμοῦ en signe F ; πάλιν E. — κλοκεῖον corrigé en κλοκίον F, ici et plus loin. — μὴ ἔχον] F. l. μὴ ἔχων ?
2104. F. l. ἄλειψαι.

21. Εἶθ’ οὕτω σόφισον αὐτὸ, καὶ κτῖσον εἰς φουρνάκιον ὡς τὸ τοῦ ῥοδοστάγματος · καὶ ἀντὶ πυρὸς ἀνθράκων, ἄψας λύχνον, θὲς ὑποκάτω αὐτοῦ. Καὶ εἰ μέν εἰσι τὰ ἔνδον ἀνὰ οὐγγίαν α′ τὸ καυθὲν,[2105] ἤγουν ἐξ ἀμφοτέρων οὐγγ. δύο, χρεία ἐστὶν ἅπτειν τὸν λύχνον[2106] ἡμέρας ζ′, ἤγουν νυχθήμερα ζ′. Καὶ εἰ μὲν τὸ εἶδος ὑπάρχει ὅσον[2107] τὸ ἥμισυ, λοιπὸν ἀψάσθω ἡμέρας δ′, εἰ δὲ δ^{ον}, ἡμέρας β′. Καὶ[2108] μετὰ τὰς ζ′ ἡμέρας, ἀνοίξας τὸ ἄγγος, καὶ τὸ εἶδος ἰδὼν πησσόμενον,[2109] ἐπίθες πάλιν ἀπὸ τοῦ πεφυλαγμένου ὕδατος ἑτέραν οὐγγίαν α′ ὡς τὸ πρότερον. Εἶτα ἄψας τὸν λύχνον ἡμέρας ὅσας εἴρηται, οὕτως ἔσω ποιῶν ἄχρις θ′ φορῶν.[2110]

22. Εἶτα ἀνοίξας, εὑρήσεις τὸ γεγονὸς ξανθὸν πεπηγμένον ἔχοντα[2111] στάθμην τῆς προσθήκης πάσης ἧς ἐξ ἀρχῆς ἔθηκας εἰς φορὰς θ′, ἕως τέλους, οὐγγ. ι′.[2112]

23. Τοῦτο λαβὼν, ἔχε · καὶ ἐξ αὐτοῦ λαβὼν μέρος α′, ὅσον[2113] οὐγγ. α′.

24. (f. 139 r.) Εἶθ’ οὕτω κατασκευάσας διὰ τοῦ πυρὸς, ἤγουν διὰ τῆς τοῦ λύχνου θερμάνσεως, πότισον αὐτὰ θ′ φορὰς, καὶ πάλιν διὰ[2114] τοσαυτῆς στάθμης μετὰ τοῦ θείου

2105. καυθ’ ἓν F. (F. l. καθ’ ἓν).
2106. οὐγκίας E, presque partout.
2107. ἤγουν — τὰς ζ′ ἡμέρας om. E
2108. τὸ ἥμισυ] τὸ q″ (qoppa″) F.
2109. εἶτα ἀνοίξας E.
2110. ἔσο E, f. mel. — ἄχρι καὶ ἐννέα φορῶν E.
2111. ἔχον σταθμὸν E. F. l. ἔχον τε στάθμην. — ἦν E.
2112. ἕως τέλους, ἤγουν ὀγκίας δέκα E.
2113. F mg. : φύλαξον (en rouge).
2114. καὶ πάλιν δ. τοσ. στ.] πάλιν διὰ τοσούτου σταθμοῦ E.

ἐλαίου ὡς ἐποίησας μετὰ τοῦ θείου ὕδατος. Εἰς δὲ τὴν ὑστάτην φοράν, ἤγουν τὴν θην, μέλλεις λαβεῖν[2115] ἔλαιον ἐπὶ τοῦ διπλοῦ · καὶ ἄψητον λύχνον δυνατώτερον.[2116]

25. Εἶθ' οὕτως εὑρήσεις τὸ ξηρίον τετελειωμένον, τῇ χροιᾷ ὀξυπόρφυρον. Τρίψας δὲ αὐτό, φύλαξον καλῶς.[2117]

26. Ὅτε δὲ Θεοῦ εὐδοκοῦντος θελήσεις τὴν αὐτὴν πεῖραν εἰς φῶς ἀγαγεῖν, λαβὼν ἄργυρον καθαρὸν ὅσον οὐγγ. α΄, καὶ τοῦτον χωνεύσας ἐν πυρὶ, θὲς ἀπὸ τοῦ ῥηθέντος ξηρίου εἰς αὐτὸν ὅσον στάθμην κο. ἑνὸς,[2118] καὶ εὑρήσεις χρυσὸν, λάμποντα καὶ φοτίζοντα τῆς οἰκουμένης τὰ[2119] πέρατα.[2120]

✴

✴✴

2115. μέλλεις λαβεῖν] λάβε.
2116. ἄψαι τὸν λ. E, mel.
2117. καὶ τρίψας αὐτὸ E. — F mg. : φύλαξον, en rouge.
2118. θὲς] ἐπίβαλε E. — σταθμὸν E. — κο.] abréviation de κοτύλου (synonyme de κοτύλη) ? κοκκίου (grain) E, f. mel.
2119. χρυσὸν] signe de l'or et du soleil, puis : ἤγουν χρυσόν F. — F. l. χρυσὸν, ἤγουν ἥλιον ...? — Réd. de E : καὶ εὑρήσεις τὸν ἄργυρον χρυσὸν γεγενημένον, χρυσὸν λέγω λάμποντα ...
2120. Après πέρατα, E ajoute : Τέλος τῆς χρυσοποιΐας τοῦ Νικηφόρου τοῦ Βλεμμύδου, et continue ainsi : Ἀνωνύμου τινὸς ... (voir p. suiv.).

1.3.21 Blemmidès. — Appendice. [2121]

ΑΠΕΡ ΧΡΗ,ΖΕΙ Η ΠΑΡΟΥΣΑ ΚΑΤΑΣΚΕΥΗ

Suite du texte précédent. — Transcrit sur F. *— Collationné sur* E.

Ἀρχὴν, ὠὰ καθαρὰ, μετὰ σπερμάτων φ′ ... α′. [2122]

Σκεύη · δύο ὀστράκινα κλοκία μετὰ καπασίων ὑελίνων [2123] ... β′.

Ὁμοίως καὶ ὑέλινα τρία, ἵνα χωρῇ τὸ ἓν καρτελοῦρον ... γ′.

Τὸ ἄλλο καρτελοῦρα β′, καὶ τὸ ἀλλὸ καρτελοῦρον C′′, καὶ καπάσιν αὐτοῦ [2124] ... γ′.

Ἰγδίον. [2125]

Μάρμαρον πόρφυρον [2126] ·

Καὶ τριβαδὶ ζωγράφου. [2127]

2121. Titre ou lemme dans E : Ἀνωνύμου τινὸς, τοῦ ποιήσαντος τὰ ἄνωθεν σχόλια, ἔκθεσις χοινῇ διαλέκτῳ περὶ πάντων ὧν χρήζει ἡ παροῦσα κατασκευὴ πρὸς τὸ γενέσθαι. Ἄλλος δέ τις γράφει ἐν σελίδι οὕτως · ὡς ἐμοὶ δοκεῖ οὐδὲ ἡ παροῦσα κατασκευὴ ἐστὶ τελεία, ζήτει δὲ τὴν ἑτέραν καὶ μεγάλην κατασκευὴν, εἰς τὸ ἕτερον βιβλίον τοῦ αὐτοῦ Νικηφόρου τοῦ Βλεμμύδου :— ταῦτα δέ ἐστιν, ὧν χρήζει ἡ παροῦσα κατασκευή.

2122. F mg. : Ζήτει δὲ τὴν ἑτέραν καὶ μεγάλην κατασκευὴν εἰς τὸ ἕτερον βιβλίον τοῦς αὐτοῦς βλέψη μηδὲν (f. l. τοῦ αὐτοῦ Βλεμμίδου). — φ′ F. l. λ ΣΤ′. Cp. ci-dessous, l. 16.

2123. F. mg. : E. τὴρ. : ὡς ἐμοὶ δοκεῖ οὐδὲ ἡ παροῦσα κατασκευὴ τελεία.

2124. τὸ ἄλλο καρτ. β′] τὸ δὲ ἄλλο κοτύλας β′ E. — καὶ τὰ καππάκια αὐτῶν γ′ E.

2125. ἰγδίον ἓν E.

2126. πορφυροῦν ἓν E, mel.

2127. καὶ τριβίδιον ζωγρ. ἓν E.

Γύψου παλαιοῦ ἀπὸ ἐκκλησίας.[2128]

Τζουκάλι πυρίμαχον καὶ κύθρους δύο ὡσὰν γαβαγίον[2129].

Καὶ πηλὸν πυρίμαχον.[2130]

Ὡσαύτως χρῄζει ἀρχὴν νερὸν λευκὸν ἅπαξ ἀνασπασθὲν οὐγγ. λς΄,[2131] ὁμοίως καὶ δεύτερον ἅπαξ ἀναβασθὲν οὐγγ. ιη΄, καὶ ἔλαιον κόκκινον[2132] ἅπαξ ἀναβασθὲν οὐγγ. ιε΄.

Γίνωσκε γοῦν ὅτι τὰ λΣΤ΄ αὐγὰ ἀπολοῦσι νερὸν οὐγγ. ϑ΄.[2133]

Καὶ καρτελοῦρα τὸ νερὸν ἔχει λίτρας β΄.[2134]

Ὡσαύτως χρῄζει καὶ ἄσβεστον, μετὰ τῶν ὑμένων ὁμοῦ, οὐγγίας ϑ΄,[2135] καὶ φλοιοὺς τριμμένους ἀκαύστους, οὐγγίας ιη΄, καὶ μαγνησίαν, ἤγουν[2136] κεκαυμένους κροκοὺς, ΣΤ$^{\gamma}$ δ΄ κο κ΄ · καὶ ζύγιν, καὶ ξύλα, καὶ φουρνάκιν,[2137] καὶ νοῦν λεπτὸν καὶ ἀπέραντον.[2138]

Τοῦτό ἐστι τὸ περιεκτικὸν καὶ ὅλον μυστήριον[2139] (φ. 139 υ.) · αἷμα ἀνθρώπου παρηνοῦ, χολὴν μέλανος βοὸς μὴ ἔχον-

2128. γύψον παλαιὸν E.
2129. τζουκ. πυριμ. κ. κ. δύο] χύτρας πυριμάχους δύο E. — F. l. γαβάθιον.
2130. καὶ om. E.
2131. νερὸν λευκὸν] ὕδατος λευκοῦ E. — ἀνασπασθέντος E.
2132. Réd. de E : δευτέρου ἑτέρου ἅπ. ἀνασπασθέντος οὐγκίας ιη΄ καὶ ἐλαίου κοκκίνου ἅπ. ἀνασπασθέντος οὐγκίας ιε΄.
2133. γοῦν] δὲ E. — αὐγὰ] ὠὰ E. — ἀπολύουσιν ὕδατος E.
2134. Réd. de E : ἡ δὲ κοτύλη τοῦ ὕδατος ἔχει λίτρας β΄.
2135. ἀσβέστου E. — ὁμοῦ (en signe) om. E.
2136. φλοιῶν τετριμμένων ἀκαύστων E. — μαγνησίας E.
2137. κεκαυμένων κρόκων οὐγκίας δ΄ κοκκία κ΄ E. — ζυγίον E.
2138. Après ἀπέραντον, E aj. : τὸ θεμέλιον τῶν ὅλων. Τέλος.
2139. Τοῦτο — fin, en rubrique F. — αἷμα — ἐπιτύχοις om. E. (Phrase insérée dans ce ms., f. 4 r. — Cp. p. 424, l. 2).

τος τὸν σύσσημον,[2140] καὶ τραγίδος βοτάνης ὀπόν · ἐξίσου τὰ τρία ἔχων, εἰ πυρώσεις σίδηρον καὶ βάψῃς, μάλα ἐπιτύχοις.[2141]

2140. παρηνοῦ] F. l. παροίνου. — βοῦ F.
2141. ἐπὶ τύχης F ; ἐπιτύχης (pour ἐπιτύχοις) ἄν E (l. c.)

2 Traduction.

2.1 Quatrième Partie. — Les Vieux Auteurs.

2.1.1 4. — 1. Pélage le Philosophe sur l'Art Divin et Sacré. [1]

1. Les anciens philosophes, amoureux (des sciences) et remplis (de zèle), disaient que tout art a été inventé à cette fin (de profiter) à la vie. Ainsi l'art du constructeur a pour objet essentiel de fabriquer un siège, une boîte, ou un navire, au moyen de la seule nature de la (matière) ligneuse. [2] De même l'art tinctorial [3] a été inventé en vue de fabriquer une certaine teinture et de produire une certaine qualité [4] : c'est là aussi la fin de l'art. Il faut savoir que les anciens rapportent un fait exact lorsqu'ils disent : « Le cuivre ne teint pas, mais il est

1. Cet article porte le nom de Pélage, l'un des vieux alchimistes (Cp. *Olympiodore*, p. 96 et 194) ; mais il renferme des additions et gloses plus modernes. Le texte est fort obscur et il est difficile d'en garantir le sens exact. Toutefois il semble se rapporter à la dorure et à l'argenture des métaux, tels que le cuivre et le fer : ces métaux doivent être préalablement oxydés ou sulfurés à la surface, puis décapés et rendus brillants ; on étend ensuite à leur surface l'or ou l'argent « atténués : » c'est-à-dire amenés à un grand état de division (poudre ou coquille d'or), ou d'amincissement (feuilles d'or et d'argent) ; sinon même rendus plastiques et mous par leur amalgamation au mercure ; ou bien encore dans certains cas, divisés, et peut-être rendus solubles (« spiritualisés ») par l'action préalable d'un sulfure métallique et d'un sel alcalin. — Tout ceci doit donc, à l'origine, avoir exprimé le fait que l'on dore ou l'on argente un métal au moyen de l'or ou de l'argent divisés, ou d'une composition renfermant ces corps ; puis on a ajouté l'idée de la transmutation du fond même du métal.
2. Cp. Synésius, p. 67.
3. Appliqué aux métaux, c'est-à-dire l'art de la transmutation.
4. Qualité ou couleur d'or ou d'argent.

teint, et lorsqu'il a été teint, il teint.[5] » C'est pour cette raison que tous les écrits exposent dans des termes pareils le travail du cuivre, et montrent comment on le teint : et s'il est teint, alors il teint ; mais s'il n'est pas teint, il ne peut pas teindre, ainsi qu'on l'a (déjà) dit. Voilà pourquoi l'on recommande de rendre le cuivre exempt d'ombre, afin que devenu brillant il puisse recevoir la teinture.

